1. Cœli virilia à Saturno filio execta, & in mare projecta, & è spuma ibi natam Venerem fabulantur. Vide Pausaniam in Achaicis &c.

λέγοντα ἐνοχλεῖν, οἱ ἄμεινον τὰ παρ' ἑκάστοις τῶν πεφυσιολογηκότων οἴδατε· ἢ οἷα περὶ τῆς φύσεως ἐνόησαν οἱ συγγεγραμμένοι· ἢ ἃ περὶ τῆς Ἀθηνᾶς, ἣν φρόνησιν διὰ πάντων διήκουσαν φασίν· ἢ περὶ τῆς Ἴσιδος, ἣν φύσιν αἰῶνος, ἐξ ἧς [1] πάντες ἔφυσαν, καὶ δι' ἧς πάντες εἰσὶ, λέγοντες· ἢ [2] περὶ τοῦ Ὀσείριδος, οὗ σφαγέντος ὑπὸ Τυφῶνος τοῦ ἀδελφοῦ περὶ 3 Πελώρου τοῦ υἱοῦ, ἡ Ἶσις ζητοῦσα τὰ μέλη, καὶ εὑροῦσα ἤσκησεν εἰς ταφήν· ἣ ταφὴ ἕως νῦν Ὀσειρακὴ καλεῖται. ἄνω γὰρ καὶ κάτω περὶ τὰ εἴδη τῆς ὕλης στρεφόμενοι, ἀποπίπτουσι 4 τοῦ λόγῳ θεωρητοῦ θεοῦ· τὰ δὲ στοιχεῖα καὶ τὰ μόρια αὐτῶν θεοποιοῦσιν, ἄλλοτε ἄλλα ὀνόματα αὐτοῖς τιθέμενοι· τὴν μὲν τοῦ σίτου σπορὰν, Ὄσειριν (ὅθεν, φασὶ, μυστικῶς ἐπὶ τῇ ἀνευρέσει τῶν μελῶν ἢ τῶν καρπῶν ἐπιλεχθῆναι τῇ Ἴσιδι, εὑρήκαμεν, συγχαίρομεν) τὸν δὲ τῆς ἀμπέλου καρπὸν, Διόνυσον· καὶ Σεμέλην, αὐ-

1. Gesnerus in utroque loco pro πάντες legendum putat πάντα, quippe in Plutarcho legitur omnia ab Iside facta esse.

2. de hac fabula lege Plutarchum in Iside.

3. Forsan legendum παρὰ Ὥρου· de Oro enim Isidis filio sæpe legimus, de Peloro nunquam.

4. Gesnerus legit τοῦ λόγου.

τὴν

tur) mutationi obnoxius est: sive tempestas aliqua, non constat sibi. Numen vero mutationis atque inconstantiæ omnis expers est. Sed quid est quod multis importunus sim vobis, ea referendo quæ vos ex illorum libris qui naturales hujusmodi commentationes tractant, melius cognovistis? Ut quæ vel de natura sentiunt scriptores: vel de Minerva, quam dicunt esse mentem per omnia extensam: vel de Iside, quam faciunt naturam ævi, ex qua nata sint omnia, & per quam omnia existant: vel de Osiride, cujus à Typhone fratre occisi Isis cum Peloro filio membra quærens quum invenisset, ad sepulturam comparavit: quæ etiamnum Osiriaca nominatur. [Quid, inquam, est quod pluribus his immoremur:] quum sursum deorsum circa diversas materias occupati, à vero illo qui mente sola comprehenditur Deo aberrent? Itaque elementa eorumque partes deificant, alias alia nomina eis imponentes. Nam frumenti sationem, Osirim vocant: aiuntque Isin, quum sive Osiridis membra, sive fruges invenisset, exclamasse: Invenimus, gaudemus. Vitis vero fructum, Bacchum appellant: vitemque ipsam,

Semelen: & fulmen, æſtum Solis. Atqui illi qui fabulas in rebus divinis introducunt, quidvis potius quam theologi ſunt dicendi: nec vident ſe, interim dum deos ſuos hujuſmodi argumentis defendunt, vanitatis ipſorum ſuſpicionem magis augere. [Eſto Jupiter aer, Juno terra, ſitque aliquod ſecundum naturam ipſorum conjugium:] Europa vero quid ad aerem pertinebat, quid Leda, ut cum hac in cygnum, cum illa in taurum turpis adulter mutatus Jupiter rem habere voluerit? Hujuſmodi ergo deorum aſſertores, ut jam dixi, non aſſequuti majeſtatem Dei quum ratione in locum cœleſtem (nulla ad eum mentis cognatione aut devotione ducti) conſcendere non poſſint, circa materiæ ſpecies hærent: & ſemper deorſum vergentes, elementorum mutationes deificant: perinde ac ſi navigium aliquis, quo vectus eſt, gubernatoris loco haberet. Atqui ut nulla eſt utilitas navis, utcunque rebus omnibus inſtructæ, ſi deſit gubernator: ſic elementa in hoc modo digeſta, nihil abſque Dei providentia juverint. Nam & navis per ſe nunquam navigat: & elementa ſine Deo ne moverentur quidem.

Porro



τὴν τ' ἄμπελον, καὶ Κρανόν τὴν τοῦ ἡλίου φλόγα. [1] καί τι γὰρ ταῦτα μᾶλλον ἢ θεολογοῦσιν οἱ τοὺς μύθους θεοποιοῦντες, καὶ εἰδότες ὅτι οἷς ἀπολογοῦνται ὑπὲρ τῶν θεῶν, τοὺς ἐπ' αὐτοῖς λόγους [2] βεβαιοῦσι. τί ἡ Εὐρώπη καὶ ὁ Ταῦρος καὶ ὁ Κύκνος καὶ ἡ Λήδα πρὸς γῆν καὶ ἀέρα, ἵν' ἡ πρὸς ταῦτα μιαρὰ τοῦ Διὸς μίξις, ἡ γῆς καὶ ἀέρος· ἀλλ' ἀποπίπτοντες τοῦ μεγέθους τοῦ θεοῦ, καὶ ὑπερκύψαι τῷ λόγῳ. οὐ γὰρ ἔχουσι συμπάθειαν εἰς τὸν οὐράνιον τόπον οὐ δυνάμενοι, ἐπὶ τὰ εἴδη τῆς ὕλης συντετήκασι· καὶ καταπίπτοντες, τὰς τῶν στοιχείων τροπὰς θεοποιοῦσιν. ὅμοιον εἰ καὶ ναῦν τις ἐν ᾗ ἔπλευσεν, ἀντὶ τοῦ κυβερνήτου ἄγοι. ὡς δὲ οὐδὲν πλέον νεὼς, κἂν ᾖ πᾶσιν ἐσκευασμένη, μὴ ἐχούσης τὸν κυβερνήτην· οὐδὲ τῶν στοιχείων ὄφελος διακεκοσμημένων, δίχα τῆς παρὰ τοῦ θεοῦ προνοίας. ἥτε γὰρ ναῦς καθ' ἑαυτὴν οὐ πλεύσεται, τά τε στοιχεῖα χωρὶς τοῦ δημιουργοῦ οὐ κινηθήσεται.

---

1. Gesnerus legit καί τι γε.
2. MB. οὐ βεβαιοῦσι.

Εἴποιτε ἂν οὖν συνέσει πάντας ὑπερέχοντες, τίνι οὖν τῷ λόγῳ ἔνια τῶν εἰδώλων ἐνεργεῖ, εἰ μή εἰσι θεοὶ ἐφ᾽ οἷς ἱδρυόμεθα τὰ ἀγάλματα; οὐ γὰρ εἰκὸς τὰς ἀψύχους καὶ ἀκινήτους εἰκόνας, καθ᾽ ἑαυτὰς ἰσχύειν χωρὶς τοῦ κινοῦντος. τὸ μὲν δὴ κατὰ τόπους καὶ πόλεις καὶ ἔθνη γίγνεσθαί τινας ἐπ᾽ ὀνόματι εἰδώλων ἐνεργείας, οὐδ᾽ ἡμεῖς ἀντιλέγομεν· οὐ μὴν εἰ ὠφελήθησάν τινες, καὶ αὖ ἐλυπήθησαν ἕτεροι, θεοὺς νομιοῦμεν τοὺς ἐφ᾽ ἑκάτερα ἐνεργήσαντας. ἀλλὰ καὶ ᾧ λόγῳ νομίζετε ἰσχύειν τὰ εἴδωλα, καὶ τίνες οἱ ἐνεργοῦντες, ἐπιβάλλοντες αὐτῶν τοῖς ὀνόμασιν, ἐπ᾽ ἀκριβὲς [1] ἐξητάκαμεν. ἀναγκαῖον δέ μοι μέλλοντι δεικνύειν τίνες οἱ ἐπὶ τοῖς εἰδώλοις ἐνεργοῦντες, καὶ ὅτι μὴ θεοί, προσχρήσασθαί τισι καὶ τῶν ἀπὸ φιλοσοφίας μάρτυσι. πρῶτος Θαλῆς [2] διαιρεῖ (ὡς οἱ τὰ ἐκείνου [3] διαιροῦντες, ἀκριβοῦντες μνημονεύουσιν) εἰς θεόν, εἰς δαίμονας, εἰς ἥρωας. ἀλλὰ θεὸν μὲν, τὸν νοῦν τοῦ κόσμου ἄγει· δαίμονας δὲ, οὐσίας νοεῖ ψυχικάς· καὶ ἥρωας,

1. Melius ἐξητάσαμεν.
2. Scil. τὸ θεῖον.
3. Vox διαιροῦντες videtur abundare.

τὰς

Porro vos, qui intellectu omnibus præstatis, hoc forsan à me interrogabitis, Qua igitur ratione simulacra quædam certos edunt effectus, si dii quorum honori dedicantur, non sunt? Neque enim inanimatas & immobiles imagines per se aliquid posse, absque eo qui moveat, credibile est. Fieri quidem in diversis civitatibus & populis aliquos ab idolis eorumque nomine effectus, nos etiam non negamus; non tamen idcirco quod ab aliis fructum aliquem perceperint aliqui, vel etiam læsi fuerint nonnulli, deos esse qui aut obfuere, aut profuere, putamus. Verum qua ratione posse aliquid existimentur idola: & quinam in eis agant, eorum sibi nomina usurpantes, diligentius trutinemus. Sed antequam hoc aggrediar, ut quinam in idolis operentur, quodque dii non sint, demonstrem; necesse erit philosophos etiam aliquos testes mihi proferre. Primum igitur Thales, triplici divisione (ut referunt qui philosophiam ejus altius sunt scrutati) deum, dæmones, & heroes [seu genios] nuncupat Deum autem definit esse mentem mundi: dæmones, essentias animales sive spirituales: heroes, separatas

paratas hominum animas: bonos nimirum, bonas: malos vero, improbas. Plato vero quum de ceteris [de heroibus] nihil pronuntiet, substantias natura superiores, in Deum ingenitum, & stellas ab ingenito illo creatas, perque mundum sive cœlum digestas, tum fixas, tum planetarum, tertio in dæmones distribuit. De quibus dæmonibus quum quid sibi videretur, exponere recusaret; majoribus qui de illis aliquid protulissent, adhibendam fidem judicat. Ceterorum vero [inquit: dixerat autem prius de stellis tanquam diis] qui dæmones appellantur, & cognoscere & enuntiare ortum, majus est opus quam ferre nostrum valeat ingenium. Priscis itaque viris hac in re credendum est: qui diis geniti, ut ipsi dicebant, parentes suos optime noverant. Impossibile sane deorum filiis fidem non habere, licet nec necessariis, nec verisimilibus rationibus eorum oratio confirmetur. Verum quia de domesticis rebus loqui se affirmabant, nos legem sequuti, fidem præstabimus. Sic igitur ut ab his est traditum, horum deorum [dæmonum] generatio habeatur, atque dicatur, Terræ Cœlique filii Oceanus & Te-

thys

τὰς κεχωρισμένας ψυχὰς τῶν ἀνθρώπων· ἀγαθοὺς μὲν, τὰς ἀγαθὰς, κακοὺς δὲ, τὰς φαύλας. Πλάτων δὲ τὰ ἄλλα ἐπέχων, καὶ αὐτὸς εἴς τε τὸν ἀγέννητον θεὸν, καὶ τοὺς ὑπὸ τοῦ ἀγεννήτου εἰς κόσμον τοῦ οὐρανοῦ γεγονότας, τούς τε πλάνητας καὶ τοὺς ἀπλανεῖς ἀστέρας, καὶ εἰς δαίμονας τέμνει. περὶ ὧν δαιμόνων αὐτὸς ἀπαξιῶν λέγειν, τοῖς περὶ αὐτῶν εἰρηκόσιν προσέχειν ἀξιοῖ. [1] ‘περὶ δὲ τῶν ἄλλων
‘δαιμόνων εἰπεῖν, καὶ γνῶναι τὴν γένεσιν,
‘μεῖζον ἢ καθ' ἡμᾶς. πειστέον δὲ τοῖς
‘εἰρηκόσιν ἔμπροσθεν, ἐγγόνοις μὲν θεῶν
‘οὖσιν, ὡς ἔφασαν, σαφῶς [2] γέ που τοὺς ἑ-
‘αυτῶν προγόνους εἰδόσιν. ἀδύνατον οὖν
‘θεῶν παισὶν ἀπιστεῖν, [3] κἄνπερ ἄνευ εἰ-
‘κότων καὶ ἀναγκαίων ἀποδείξεων λέγωσιν.
‘ἀλλ' ὡς οἰκεῖα † φασκόντων ἀπαγγέλλειν,
‘ἑπομένοις τῷ νόμῳ πιστευτέον. οὕτως οὖν
‘κατ' ἐκείνοις καὶ ἡμῖν ἡ γένεσις περὶ αὐ-
‘τῶν τῶν θεῶν ἐχέτω, καὶ λεγέσθω, Γῆς
‘τε καὶ Οὐρανοῦ παῖδες Ὠκεανός τε καὶ Τη-

1. Plato in Timæo pag. 481. lin. 30. edit. Bas.
2. Plato σαφῶς δέ.
3. Plato καίπερ --- λέγουσιν.
4. Plato φάσκουσιν.

θὺς

« θὺς ἐγεννηθήτην· τούτων δὲ, Φόρκυς, Κρόνος τε καὶ Ῥέα, καὶ ὅσοι μετὰ τούτων· ἐκ δὲ Κρόνου τε καὶ Ῥέας, Ζεὺς, Ἥρα τε, καὶ πάντες, οὓς ἴσμεν πάντας ἀδελφοὺς λεγομένους αὐτῶν· ἔτι τε τούτων ἄλλους ἐκγόνους». ἆρ' οὖν ὁ τὸν ἀΐδιον νοῦν καὶ λόγῳ καταλαμβανόμενον περινοήσας Θεὸν, καὶ τὰ [1] ἐπισυμβεβηκότα αὐτῷ [2] ἐξειπεῖν, τὸ ὄντως ὂν, τὸ μονοφυὲς, τὸ ἀγαθὸν ἀπ' αὐτοῦ ἀποχεόμενον, ὅπερ ἐστὶν ἀλήθεια· καὶ περὶ πρώτης δυνάμεως· καὶ ὡς περὶ τὸν πάντων βασιλέα πάντα ἐστὶ, καὶ ἐκείνου ἕνεκεν πάντα, καὶ ἐκεῖνο αἴτιον πάντων, καὶ περὶ δύο καὶ τρία· δεύτερον δὲ περὶ τὰ δεύτερα· καὶ τρίτον περὶ τὰ τρίτα· περὶ τῶν ἐκ τῶν αἰσθητῶν γῆς τε καὶ οὐρανοῦ λεγομένων γεγονέναι, μεῖζον ἢ καθ' ἑαυτὸν τἀληθὲς μαθεῖν ἐνόμισεν; ἢ οὐκ ἔστιν εἰπεῖν; ἀλλ' ἐπεὶ ἀδύνατον γεννᾷν καὶ ἀποκυΐσκεσθαι θεοὺς ἐνόμισεν, ἑπομένων τοῖς γιγνομένοις τελῶν, καὶ τὸ τούτου ἀδυνατώτερον, μεταπεῖσαι τοὺς πολλοὺς ἀβασανίστως τοὺς μύθους παραδεχομένους· διὰ ταῦτα μεῖζον ἢ καθ' ἑαυτὸν γνῶναι καὶ εἰπεῖν ἔφη περὶ τῶν

1. Per ἐπισυμβεβηκότα intelligit attributa dei.
2. Gesnerus legit ἐξειπών.

ἄλλων

thys fuisse traduntur. Ab iis Phorcyn, Saturnus & Rhea, geniti, & reliqui horum fratres. Ex Saturno & Rhea, Jupiter & Juno, & reliqui, quos eorũ fratres quotidie memorari audimus, nati dicuntur. Ex his deinceps, ut traditur, alii. An vero Plato ille, qui excelso animo mentẽ æternam, & sola ratione comprehendendum Deum est contemplatus:& perpetuo ei adjuncta effatus: nempe id quod vere est ens, quod uniforme, & quod ab eo emanat bonum, hoc est, veritatem: qui de potestate suprema disseruit, & quod circa Regem omnium omnia sint, & omnia ipsius gratia: quodque ipse causa sit omnium, & rebus omnibus adsit: non uno quidem modo, sed secundo secundis, tertio tertiis: illene, inquam, de diis aut dæmonibus illis, qui ex sensibilibus corporibus Cœlo & Terra nata feruntur, veritatem intelligere supra sui ingenii captum existimasset? Nequaquam, opinor. Sed quum deos gignere & gigni impossibile putaret, quum omne quod incepit, finiri aliquando oporteat: nec minus impossibile persuasionem vulgi, quod temere fabulas recipit, immutare: has ob causas supra suas vires esse dixit reliquorum dæmo-

num

num generationem vel noſcere vel efferre: quum neque ingenio conſequi, neque verbis exprimere poſſet quo pacto generarentur dii. Nam quod alibi ait, Magnus utique dux in cœlo Jupiter, citans alatum currum, primus incedit, exornans cuncta, provideque diſponens: hunc ſequitur deorum dæmonumque exercitus: non de Saturni filio Jove, ſed de conditore univerſitatis intelligendum eſt. Quod & ipſe Plato innuit: qui quum aliud conveniens nomen [unum] non haberet, communi vocabulo Jovis, non tanquam proprio Dei, ſed perſpicuitatis cauſa, (Deum enim illum ſummum in vulgus efferre homini poſſibile non eſt,) uti voluit: adjecto tamen Magni cognomine, ut cœleſtem à terreſtri diſtingueret, ingenitum à genito: qui non modo Cœlo Terraque, ſed ipſis etiam Cretenſibus (infantem ipſum, ne à patre occideretur, ſuffuratis) poſterior eſt. Sed quid opus eſt, coram vobis, qui omne genus literarum ſcrutati eſtis, vel poetarum carmina vel aliorum ſententias examinare? Hoc [ſummatim] à me dictum, ſat fuerit: quod ſi non etiam poetæ & philoſophi Deum unum agnoviſſent,

ἄλλων δαιμόνων φύσεως, οὔτε μαθεῖν, οὔτε ἐξειπεῖν γεννᾶσθαι θεοὺς δυναμένοις. καὶ τὸ εἰρημένον αὐτῷ,[1] ‘ὁ δὴ μέγας ἡγεμὼν ἐν ‘οὐρανῷ Ζεύς, ἐλαύνων πτηνὸν ἅρμα, πρῶ‘τος πορεύεται διακοσμῶν πάντα καὶ ἐπι‘μελούμενος· τῷ δ' ἕπεται στρατιὰ θεῶν τε καὶ ‘δαιμόνων· οὐκ ἐπὶ τοῦ ἀπὸ Κρόνου λεγομένου ἔχει Διός. ἔστι γὰρ ἐν τούτῳ ὄνομα τῷ ποιητῇ τῶν ὅλων. δηλοῖ δὲ καὶ αὐτὸς ὁ Πλάτων·[2] ἑτέρῳ γὰρ σημαντικῷ προσειπεῖν αὐτὸν οὐκ ἔχων, τῷ δημώδει ὀνόματι, οὐχ ὡς ἰδίῳ τοῦ θεοῦ, ἀλλ' εἰς σαφήνειαν, ὅτι μὴ δυνατὸν εἰς πάντας φέρειν κατὰ[3] δύναμιν τὸν θεόν, προσεχρήσατο, ἐπικατηγορήσας τὸ μέγας· ἵνα διαστείλῃ τὸν οὐράνιον ἀπὸ τοῦ χαμᾶθεν, τὸν ἀγέννητον ἀπὸ τοῦ γεννητοῦ, τοῦ νεωτέρου μὲν οὐρανοῦ καὶ γῆς, νεωτέρου δὲ Κρητῶν, οἳ ἐξέκλεψαν αὐτόν, μὴ ἀναιρεθῆναι ὑπὸ τοῦ πατρός. τί δαὶ δεῖ πρὸς ὑμᾶς πάντα λόγον κεκινηκότας, ἢ ποιητῶν μνημονεύειν, ἢ καὶ ἑτέρας δόξας ἐξετάζειν; τοσοῦτον εἰπεῖν ἔχοντι·[4] εἰ καὶ μὴ ποιηταὶ καὶ φιλόσοφοι ἕνα μὲν εἶναι ἐπεγίνωσκον θεόν, περὶ

1. Plato in Phædro pag. 202. lin. 52. edit. Baſ.
2. Vide Platonem in Timæo.
3. Scil. ἀνθρωπίνην.
4. Geſnerus legit εἰ μὴ καί.

[1] δὲ τούτων, οἱ μὲν ὡς περὶ δαιμόνων, οἱ δὲ ὡς περὶ ὕλης, οἱ δὲ ὡς περὶ ἀνθρώπων γενομένων ἐφρόνουν, ἡμεῖς τε ἂν εἰκότως ξενηλατούμεθα, διαιρετικῷ λόγῳ καὶ περὶ θεοῦ καὶ ὕλης καὶ περὶ τῆς τούτων αὐτῶν οὐσίας κεχωρισμένοι. ὡς γὰρ θεὸν φαμὲν, καὶ υἱὸν τὸν λόγον αὐτοῦ, καὶ πνεῦμα ἅγιον, ἑνούμενα μὲν κατὰ δύναμιν, τὸν πατέρα, τὸν υἱὸν, τὸ πνεῦμα· ὅτι νοῦς, λόγος, σοφία, υἱὸς τοῦ πατρὸς καὶ ἀπόῤῥοια, ὡς φῶς ἀπὸ πυρὸς τὸ πνεῦμα· οὕτως καὶ ἑτέρας εἶναι δυνάμεις κατειλήμμεθα περὶ τὴν ὕλην ἐχούσας καὶ δι' αὐτῆς, μίαν μὲν, τὴν ἀντίθεον· οὐχ ὅτι ἀντιδοξοῦν τι ἐστὶ τῷ θεῷ, ὡς τῇ φιλίᾳ τὸ νεῖκος, κατὰ τὸν Ἐμπεδοκλέα· καὶ τῇ ἡμέρᾳ νὺξ, κατὰ τὰ φαινόμενα (ἐπεὶ κἂν εἰ ἀνθειστήκει τι τῷ θεῷ, ἐπαύσατο τοῦ εἶναι, λυθείσης αὐτοῦ τῇ τοῦ θεοῦ δυνάμει καὶ ἰσχύϊ τῆς συστάσεως) ἀλλ' ὅτι τῷ τοῦ θεοῦ ἀγαθῷ, ὃ κατὰ συμβεβηκός ἐστιν αὐτῷ, καὶ συνυπάρχον, ὡς χρόα σώματι, οὗ ἄνευ οὐκ ἔστιν (οὐχ ὡς μέρους ὄντος, ἀλλ' ὡς κατ' ἀνάγκην συνόντος παρακολουθήματος ἡνωμένου καὶ συγκεχρωσμένου· ὡς τῷ πυρὶ, ξαν-

[1] Gesnerus potius legendum putat περὶ δὲ τῶν ἄλλων.

θῷ

ſent, de reliquis vero [qui vulgo dii habentur] tanquam vel dæmonibus, vel materia duntaxat, vel hominibus olim claris, ſenſiſſent; merito nos, qui Deum & materiam & utriuſque eſſentiam diſcernimus, rejiceremur. Quippe ut Deum aſſerimus, & Filium ipſius Verbum, & Spiritum ſanctum: (tria quidem ſecundum potentiam, Patrem, Filium & Spiritum: actu vero & eſſentia unum. Filius enim, Patris mens, verbum & ſapientia eſt: & [ab eodem] Spiritus, ut lumen ab ab igne, profluit:) ſic & alias quaſdam poteſtates eſſe cognoſcimus, quæ vel circa materiam vel intra eam verſantur: unam [Deo inſervientem, alteram vero] ei adverſantem. Non quod ulla vis cum Deo pugnare queat, ut amicitiæ lis adverſatur, ſecundum Empedoclem, & nox diei, ſicut ſenſibus noſtris apparet: (nam etiamſi quid Deo ſe opponeret, mox aboleretur, vi & potentia Dei diſſipatum:) ſed quoniam Dei bonitati, quæ ei adjuncta copulataque eſt ita ut corpori color, (hic enim ſine illo non eſt, non veluti pars ipſius, ſed tanquam res neceſſario conſequens, unita illa velutique concorporata: ut

igni color fulvus, ætheri cæruleus,) ſpiritus materiæ adhærens adverſatur: qui tamen & ipſe à Deo creatus eſt, ut reliqui angeli, & materiæ ejuſque formis adminiſtrandis præfectus. Idcirco enim angelos Deus creavit, ut rebus à ſe digeſtis providerent. Quamvis enim ipſe univerſali ſua & communi providentia univerſis proſpiciat: particularem tamen rerum ſingularum, quæ cuique fuerint commiſſæ, angelis impoſuit. Ceterum ut hominibus arbitrii libertas circa virtutes & vitia data eſt, (neque enim vos vel honore bonos, vel pœna malos afficeretis, niſi ſponte conſultoque alteri boni, alteri mali eſſent:) & alii bona fide res ſibi creditas procurant, alii improbi perfidique deprehenduntur: ſic etiam circa angelos res ſe habet. Alii enim ultro tales manſerunt, quales à Deo facti erant, & in munere ſuo fideles ſe præbuerunt: alii & res ſibi concreditas proterve contumelioſeque tractarunt, & præter omne officii ſui ac dignitatis decorum ſe geſſerunt: hic, inquam, materiæ ejuſque formarum conſtitutus princeps, & alii ex illis qui circa primum mundi firmamentum erant. Neque vero hic

θῷ εἶναι, καὶ τῷ αἰθέρι, κυανῷ) ἐναντίον ἐστὶ τὸ περὶ τὴν ὕλην ἔχον πνεῦμα, γενόμενον μὲν ὑπὸ τοῦ θεοῦ, καθὸ οἱ λοιποὶ ὑπ᾽ αὐτοῦ γεγόνασιν ἄγγελοι, καὶ τὴν ἐπὶ τῇ ὕλῃ καὶ τοῖς τῆς ὕλης εἴδεσι πεπιστευμένον διοίκησιν. τοῦτο γὰρ ἡ τῶν ἀγγέλων σύστασις τῷ θεῷ ἐπὶ προνοίᾳ γέγονε τοῖς ὑπ᾽ αὐτοῦ διακεκοσμημένοις, ἵνα τὴν μὲν παντελικὴν καὶ γενικὴν ὁ θεὸς τῶν ὅλων 1 πρόνοιαν, τὴν δὲ τὴν ἐπὶ μέρους, οἱ ἐπ᾽ αὐτοῖς ταχθέντες ἄγγελοι· ὡς δὴ καὶ ἐπὶ τῶν ἀνθρώπων, αὐθαίρετον καὶ τὴν ἀρετὴν καὶ τὴν κακίαν ἐχόντων. ἐπεὶ οὐκ ἂν οὔτ᾽ ἐτιμᾶτε τοὺς ἀγαθοὺς, οὔτ᾽ ἐκολάζετε τοὺς πονηροὺς, εἰ μὴ ἐπ᾽ αὐτοῖς ἦν καὶ ἡ κακία καὶ ἡ ἀρετή. καὶ οἱ μὲν, σπουδαῖοι περὶ ἃ πιστεύονται ὑφ᾽ ὑμῶν, οἱ δὲ, ἄπιστοι εὑρίσκονται. καὶ τὸ κατὰ τοὺς ἀγγέλους ἐν ὁμοίῳ καθέστηκεν. οἱ μὲν γὰρ ἄλλοι αὐθαίρετοι δὴ, οἷοι γεγόνασιν ὑπὸ τοῦ θεοῦ, ἔμειναν, ἐφ᾽ οἷς αὐτοὺς ἐποίησεν καὶ διέταξεν ὁ θεός· οἱ δὲ ἐνύβρισαν καὶ τῇ τῆς οὐσίας ὑποστάσει καὶ τῇ ἀρχῇ· οὗτός τε ὁ τῆς ὕλης καὶ τῶν ἐν αὐτῇ εἰδῶν ἄρχων, καὶ ἕτεροι τῶν περὶ τὸ πρῶτον τοῦτο στερέωμα. ἴστε δὲ μηδὲν ἡμᾶς ἀμαρ-

1. Deest verbum quod accusativum hunc regat. Suppleas ὑπέχει vel ἐπιμέληται vel διοικῇ vel quid simile.

τερον λέγειν, ἃ δὲ τοῖς προφήταις ἐκπεφώνηται, μηνύειν. ἐκεῖνοι μὲν εἰς ἐπιθυμίαν πεσόντες [1] παρθένων, καὶ ἥττους σαρκὸς εὑρεθέντες· οὗτος δὲ, ἀμελήσας καὶ πονηρὸς περὶ τὴν τῶν πεπιστευμένων γενόμενος διοίκησιν. ἐκ μὲν οὖν τῶν περὶ τὰς παρθένους ἐχόντων, οἱ καλούμενοι ἐγεννήθησαν γίγαντες· εἰ δέ τις ἐκ μέρους εἴρηται περὶ τῶν γιγάντων καὶ ποιηταῖς λόγος, μὴ θαυμάσητε, τῆς κοσμικῆς σοφίας, ὅσον ἀλήθεια πιθανοῦ διαφέρει, διαλλαττούσης, καὶ τῆς μὲν, οὔσης ἐπουρανίου· τῆς δὲ, ἐπιγείου. καὶ κατὰ τὸν ἄρχοντα τῆς ὕλης,

[2] Ἴσμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα.

οὗτοι τοίνυν οἱ ἄγγελοι οἱ ἐκπεσόντες τῶν οὐρανῶν, περὶ τὸν ἀέρα ἔχοντες καὶ τὴν γῆν οὐκέτι εἰς τὰ ὑπερουράνια ὑπερκύψαι δυνάμενοι· καὶ αἱ τῶν γιγάντων ψυχαὶ, οἱ περὶ τὸν κόσμον εἰσὶ πλανώμενοι δαίμονες, ὁμοίας κινήσεις οἱ μὲν αἷς ἔλαβον συστάσεσιν οἱ [3] δαίμονες, οἱ δὲ αἷς ἔσχον ἐπιθυμίαις οἱ ἄγγελοι, ποιούμενοι. ὁ δὲ τῆς

1. Ille ea quæ Genesios cap. 6. de filiis Dei dicuntur, de Angelis intelligit: uti & alii quamplurimi è vetustioribus Christianis. Vide Syncellum aliosque.

2. Homeri Odyss. τ'. carm. 203. ibi pro ἴσμεν legitur ἴσκε.

3. Gesnerus legit οἱ γίγαντες.

ὕλης

hic comminiscimur quicquam, sed ea quæ tradiderunt Prophetæ, exponimus. Itaque à statu suo defecerunt, alii quidem amoribus capti virginum, & libidine carnis accensi: ipse vero princeps, tum negligentia, tum improbitate circa procurationem sibi concreditam. Ex amatoribus igitur virginum, gigantes, ut vocant, nati sunt. (Quorum si poetæ etiam aliqua ex parte historiam prodiderunt, non est quod miremini: quum divina & cœlestis sapientia tantum à terrestri & humana absit, quantum ab ipsa veritate verisimilitudo. Nam secundum principem materiæ,

Novimus effari mendacia plurima, veri
** Quæ speciem referant.*)

Hi igitur angeli, qui quum cœlis excidissent, circa aerem & terram obversantes, non amplius evehi supra cœlos potuerunt: necnon animæ gigantum, dæmones illi sunt qui circa mundum oberrant: & motus, hæ quidem constitutioni quam [à parentibus] acceperunt: illi vero pristinæ libidini suæ, convenientes edunt. Ceterum princeps ille materiæ, ut ipse rerum eventus probat, Dei

Dei bonitati sua procuratione se opponit.

Sæpe mihi subivit cura
Animum dubitanti anxie,
Deus an fortuna regat
Hominum inconstantem vitam.
In qua inopinato sæpius
Et inique miseri sunt quidam.
In familiis etiam claris
Aliqui, quod nemo sperasset,
Absque Deo fortunati

Perplexum se his carminibus fatetur Euripides, neque scire cuinam rerum terrestrium hujusque mortalis vitæ gubernatio sit adscribenda, [in qua boni plerunque misere, mali vero feliciter degant:] & in qua aliquis dixerit,

Hæc nos videntes, quomodo vel legibus
Utemur, esse vel deos fatebimur?

Hinc & Aristoteles commotus, ea quæ infra cœlum sunt, nulla providentia regi putavit. Atqui æterna Dei universalis providentia undiquaque ex æquo se nobis extendit.

Coacta tellus, seu velit, seu non velit,
Producit herbas, & pecus pascit meum.

Ea vero quæ ad singulos pertinet, non pro hominum opinione, sed veritatis vi ut quisque meretur, procedit, & res etiam ceteras secundum com-

ὕλης ἄρχων, ὡς ἔστιν ἐξ αὐτῶν τῶν γινομένων ἰδεῖν, ἐναντία τῷ ἀγαθῷ τοῦ θεοῦ ἐπιτροπεύει καὶ διοικεῖ,

Πολλάκι μοι πραπίδων διῆλθε φροντὶς, εἴτε τύχα εἴτε δαίμων τὰ βρότεια κραίνει. παρά τ' ἐλπίδα καὶ παρὰ δίκαν τοὺς μὲν [1] ἀπ' οἴκων δ' ἐναπίπτοντας ἄτερ θεοῦ, τοὺς δὲ εὐτυχοῦντας ἄγει τὸ παρ' ἐλπίδα.

Καὶ δίκην εὖ πράττειν ἢ κακῶς, ἐν ἀφασίᾳ τὸν Εὐριπίδην ἐποίησε. τίνος ἡ τοιαύτη τῶν περιγείων διοίκησις, ἐν ᾗ εἴποι τις ἄν,

Πῶς οὖν τάδ' εἰσορῶντες, ἢ θεῶν γένος
Εἶναι λέγωμεν, ἢ νόμοισι χρώμεθα;

Τοῦτο καὶ τὸν Ἀριστοτέλη ἀπεγνόντα εἰπεῖν τὰ κατωτέρω τοῦ οὐρανοῦ ἐποίησε. καί τοι τῆς ἀιδίου ἐπίσης ἡμῖν μενούσης προνοίας τοῦ θεοῦ,

Ἡ γῆ δ', ἀνάγκη κἂν θέλῃ, κἂν μὴ θέλῃ,
[2] Φύσεως οἷαν τἀμὰ πιαίνει βοτά·

τῆς δ' ἐπὶ μέρους πρὸς ἀλήθειαν οὐ πρὸς δόξαν χωρούσης ἐπὶ τοὺς ἀξίους, καὶ τῶν

1. Gesnerus legit ἀπ' οἴκων καταπίπτοντας ἄτερ θεοῦ, τοὺς δ' εὐτυχοῦντας ἄγει παρ' ἐλπίδα καὶ δίκαν; ut hactenus sint verba Euripidis. Deinde auctor subjiciat εὖ πράττειν &c.

2. Gesnerus legit φύουσα πίαν.

λοιπῶν κατὰ τὸν κοινὸν συστάσεως νόμον λόγου περαινομένων. ἀλλ' ἐπεὶ αἱ ἀπὸ τοῦ ἀντίου πνεύματος δαιμονικαὶ κινήσεις καὶ ἐνέργειαι τὰς ἀτάκτους ταύτας ἐπιφορὰς παρέχουσιν· ἤδη καὶ τοὺς ἀνθρώπους ἄλλον ἄλλως καὶ καθ' ἕνα καὶ κατὰ ἔθνη, μερικῶς καὶ κοινῶς κατὰ τὸν τῆς ὕλης λόγον καὶ τὴν πρὸς τὰ θεῖα συμπαθείας, ἔνδοθεν καὶ ἔξωθεν κινοῦσι· διὰ τοῦτό τινες, ὧν δόξαι οὐ μικραὶ, ἐνόμισαν, οὐ τάξει τινὶ τὸ πᾶν τοῦτο συνεστάναι, ἀλλ' ἀλόγῳ τύχῃ ἄγεσθαι καὶ φέρεσθαι· οὐκ εἰδότες ὅτι τῶν μὲν περὶ τὴν τοῦ παντὸς κόσμου σύστασιν, οὐδὲν ἄτακτον οὐδὲ ἀπημελημένον, ἀλλ' ἕκαστον αὐτῶν γεγονὸς λόγῳ· διὸ οὐδὲ τὴν ὡρισμένην ἐπ' αὐτοῖς παραβαίνουσι τάξιν. ὁ δὲ ἄνθρωπος, κατὰ μὲν τὸν πεποιηκότα καὶ αὐτὸς εὐτάκτως ἔχει, καὶ τῇ κατὰ τὴν γένεσιν φύσει, ἕνα καὶ κοινὸν ἐπεχούσῃ λόγον, καὶ τῇ κατὰ τὴν πλάσιν διαθέσει, οὐ παραβαινούσῃ τὸν ἐπ' αὐτῇ νόμον, καὶ τῷ τοῦ βίου τέλει, ἴσῳ καὶ κοινῷ μένοντι· κατὰ δὲ τὸν ἴδιον ἑαυτοῦ λόγον καὶ τὴν τοῦ ἐπέχοντος ἄρχοντος, καὶ

commununem earum constitutionis legem gubernat. Quoniam autem commotiones illæ & operationes dæmonicæ, quæ à contrario spiritu proficiscuntur, inordinatos istos impetus excitant: atque insuper homines, alium aliter, tum singulos, tum integras gentes, particulatim & publice, pro ratione materiæ & erga Deum affectionis, intus forisque movent: eam ob causam aliqui, quorum non parva auctoritas est, non certo ordine hanc universitatem esse constitutam, sed temere fortuitoque agi ferrique omnia censuerunt. Nesciebant enim illi, nihil eorum quæ ad totius mundi constitutionem spectant, vel inordinatum vel neglectum esse: sed singula quæque terra ratione facta. Quamobrem præscriptum sibi ordinem nihil est quod transgrediatur. Homo etiam ordinem à creatore sibi decretum servat, tum in generationis suæ natura, quæ una communique ratione in omnibus perficitur: tum formationis & membraturæ modo, qui veluti lege quadam intra suos fines cohibetur: tum termino vitæ, qui æqualis communisque omnes manet. Quanquam vero etiam ratiocinandi vis eadem

&

& communis omnium ſit, unuſquiſque tamen, prout partim ſuo ingenio inclinat, partim à principe [materiam] obtinente & affeclis ejus malis geniis afficitur, alius aliter fertur moveturque. Et hi quidem qui ad idola eos pertrahunt, genii ſunt illi de quibus diximus: qui ſanguine victimarum gaudent, eaſque lambunt. Dii vero illi qui vulgo hominum placent, & ſua ſtatuis nomina communicant, aut ab eis accipiunt, homines fuerunt, ut ex ipſorum hiſtoriis conſtat. Quod autem dæmones ſint qui hominum illorum [aut deorum, ut vulgus credit] nomina ſibi aſſumunt, ex actionibus ſingulorum comprobari poteſt. Alii enim ut pudenda excindantur, auctores ſunt, qui conjuncti ſunt Rheæ: alii ipſa hominum corpora vulnerant aut incidunt, qui Dianæ adhærent. Taurica quidem etiam hoſpites jugulat. Ut nihil dicam de [hominibus] illis qui cultris & flagellis nodatis ſeipſos diſcruciant: nihil etiam de diverſis dæmonum generibus. Deus certe ad ea quæ præter naturam ſunt, neminem movet.

At dæmon homini quum ſtruit aliquod malum,

Per-

τὴν παρακολουθέντων δαιμόνων ἐνέργειαν, ἄλλος ἄλλως φέρεται καὶ κινεῖται· κοινὸν πάντες τὸ ἐν αὐτοῖς ἔχοντες λογισμόν. καὶ οἱ μὲν περὶ τὰ εἴδωλα αὐτοὺς ἕλκοντες, οἱ δαίμονές εἰσιν οἱ προειρημένοι, οἱ προσεστηκότες τῷ ἀπὸ τῶν ἱερείων αἵματι, καὶ ταῦτα περιλιχμώμενοι· οἱ δὲ τοῖς πολλοῖς ἀρέσκοντες θεοὶ, καὶ ταῖς εἰκόσιν ἐπονομαζόμενοι, ὡς ἔστιν ἐκ τῆς κατ' αὐτοὺς ἱστορίας εἰδέναι, ἄνθρωποι γεγόνασιν. καὶ τοὺς μὲν δαίμονας εἶναι τοὺς ἐπιβατεύοντας τοῖς ὀνόμασι, πίστις ἡ ἑκάστου αὐτῶν ἐνέργεια. οἱ μὲν γὰρ ἀποτέμνουσι τὰ αἰδοῖα, οἱ περὶ τὴν Ῥέαν· οἱ δὲ ἐγκόπτουσιν ἢ ἐντέμνουσιν, οἱ περὶ τὴν Ἄρτεμιν. καὶ ἡ μὲν ἐν Ταύροις, φονεύει τοὺς ξένους. ἐῶ γὰρ τοὺς ταῖς μαχαίραις καὶ τοῖς ἀστραγάλοις αἰκιζομένους αὐτοὺς λέγειν, καὶ ὅσα εἴδη δαιμόνων. οὐ γὰρ θεοῦ κινεῖν ἐπὶ τὰ παρὰ φύσιν.

[1] Ὅταν δ' ὁ δαίμων ἀνδρὶ πορσύνῃ κακὰ,

---

1. Eurip.

Τὸν νῦν ἔβλαψε πρῶτον.——
ὁ δὲ θεὸς, τελείως ἀγαθὸς ὢν, ἀϊδίως ἀγαθοποιός ἐστιν.

Τοῦ τοίνυν ἄλλους μὲν εἶναι τοὺς ἐνεργοῦντας, [1] ἐφ' ἑτέρων δὲ ἀνίστασθαι τὰς εἰκόνας, ἐκεῖνο μέγιστον τεκμήριον, Τρωὰς καὶ Πάριον· ἡ μὲν, Νερυλλίνου εἰκόνας ἔχει, ὃς ἀνὴρ τῶν καθ' ἡμᾶς· τὸ δὲ Πάριον, Ἀλεξάνδρου καὶ Πρωτέως. τοῦ Ἀλεξάνδρου ἔτι ἐπὶ τῆς ἀγορᾶς καὶ ὁ τάφος καὶ ἡ εἰκών. οἱ μὲν οὖν ἄλλοι ἀνδριάντες τοῦ Νερυλλίνου, κόσμημά εἰσι δημόσιον (εἴπερ καὶ τούτοις κοσμεῖται πόλις) εἷς δὲ αὐτῶν καὶ χρηματίζειν καὶ ἰᾶσθαι νοσοῦντας νομίζεται· καὶ θύουσί τε δι' αὐτὰ, καὶ χρυσῷ περιαλείφουσι, καὶ στεφανοῦσι τὸν ἀνδριάντα οἱ Τρωαδεῖς. ὁ δὲ τοῦ Ἀλεξάνδρου, καὶ ὁ τοῦ Πρωτέως (τοῦτον δ' οὐκ ἀγνοεῖτε ῥίψαντα ἑαυτὸν εἰς τὸ πῦρ περὶ τὴν Ὀλυμπίαν) ὁ μὲν καὶ αὐτὸς λέγεται χρηματίζειν· τῷ δὲ τοῦ Ἀλεξάνδρου

([2] Δύσπαρι, εἶδος ἄριστε, γυναιμανὲς) δημοτελεῖς ἄγονται θυσίαι καὶ ἑορταὶ, ὡς ἐπηκόῳ θεῷ: πότερον οὖν ὁ Νερυλλῖνος καὶ ὁ Πρωτεὺς καὶ ὁ Ἀλέξανδρός εἰσιν οἱ ταῦτα ἐνεργοῦντες περὶ τὰ ἀγάλματα, ἢ τῆς ὕλης ἡ σύ-

1. Forte ἐφ' ἑτέροις.
2. Hom. Iliad. γ', carm. 39.

δαὶ

Pervertit illi primitus mentem suam.
Deus vero quum absolute bonus sit, perpetuo beneficus est.

Porro quod alii sint qui agunt, alii vero quorum in honorem collocantur statuæ: illustria nobis argumenta Troas & Parium fuerint. Habet enim illa imagines Neryllini, viri qui nostro seculo claruit: Parium vero, Alexandri & Protei. Alexandri quidem etiamnum in foro & sepulcrum & simulacrum est. Porro Neryllini ceteræ quidem statuæ, ornatus sunt publicus (nam his quoque civitas ornatur) una ex illis tum consulentibus respondere tum medicari creditur. Quamobrem & sacra ei faciunt, & auro illinunt, & coronant statuam Troadenses. Protei vero (quem non ignoratis in ignem se injecisse circa Olympiam) statua similiter responsa dare perhibetur. Alexandri vero statuæ,

(*O Paris infelix, quanquam formose,*
Te facit insanum) (*libido*

sacrificia publice & festa peragunt, tanquam propitio & exaudienti deo. Anne igitur Neryllinus, & Proteus, & Alexander ea quæ circa statuas fiunt, efficiunt, an materiæ natura? Atqui materia, æs est: quod quid-

nam poſſet per ſe; quum in aliam quamvis figuram conflari queat, ut pelvis ab Amaſide illo apud Herodotum? Ceterum Neryllinus, & Proteus, & Alexander, quidnam opis laborantibus adferrent? Nam quæ hoc tempore ſtatua Neryllini efficere dicitur, vivente ipſo & ægrotante facit. Quid igitur dicendum? Primum ſane irrationales animæ & phantaſtici circa opiniones motus, alias alia idola [ſpectra aut ſimulacra] partim à materia trahunt, partim ipſimet ſibi confingunt & pariunt. Et hoc tunc maxime in animam cadit, quum ſpiritum materialem in ſe admiſit, eique unione quadam permiſta eſt. Quod fit quum non ad cœleſtia & eorum conditorem, ſed deorſum ad terreſtria reſpiciens, tota in terram declinat, nihil jam quam ſanguis & caro, non amplius ſpiritus ſincerus. Iſti irrationales inquam, & phantaſmatum (hoc eſt inanium viſorum) pleni animæ motus, imaginationes procreant, quarum inſana in idolorum amorem ruit cupiditas. Quum vero mollicula & flexibilis anima, rudis & expers ſanæ doctrinæ, quæ nec veritatem eſt contemplata, neque patrem & opificem univer-

στασις; ἀλλ' ἡ μὲν ὕλη, χαλκός ἐστιν· τί δαὶ χαλκὸς δύναται καθ' αὑτόν; ὃν μεταποιῆσαι πάλιν εἰς ἕτερον σχῆμα ἔξεστιν, ὡς τὸ ποδονιπτῆρα [1] ὁ παρὰ τῷ Ἡροδότῳ Ἄμασις. ὁ δὲ Νηρυλλῖνος καὶ ὁ Πρωτεὺς καὶ ὁ Ἀλέξανδρος, τί πλέον τοῖς νοσοῦσιν; ἃ γὰρ ἡ εἰκὼν λέγεται νῦν ἐνεργεῖν, ἐνήργει καὶ ζῶντος καὶ νοσοῦντος Νηρυλλίνου. τί οὖν πρῶτα μὲν αἱ τῆς ψυχῆς ἄλογοι καὶ ἰνδαλματώδεις περὶ τὰς δόξας κινήσεις, ἄλλοτε ἄλλα εἴδωλα, τὰ μὲν ἀπὸ τῆς ὕλης ἕλκουσι, τὰ δὲ αὐταῖς ἀναπλάττουσι καὶ κύουσι· πάσχει δὲ τοῦτο ψυχὴ μάλιστα τοῦ ὑλικοῦ προσλαβοῦσα καὶ ἐπισυγκραθεῖσα πνεύματος; οὐ πρὸς τὰ οὐράνια καὶ τὸν τούτων ποιητὴν, ἀλλὰ κάτω πρὸς τὰ ἐπίγεια βλέπουσα καθολικῶς εἰς γῆν, ὡς μόνον αἷμα καὶ σάρξ, οὐκέτι πνεῦμα καθαρὸν γιγνομένη. αἱ οὖν ἄλογοι αὗται καὶ ἰνδαλματώδεις τῆς ψυχῆς κινήσεις, εἰδωλομανεῖς ἀποτίκτουσι φαντασίας· ὅταν δὲ ἁπαλὴ καὶ εὐάγωγος ψυχὴ, ἀνήκοος μὲν καὶ ἄπειρος λόγων ἐῤῥωμένων, ἀθεώρητος δὲ τοῦ ἀληθοῦς, ἀπερινόητος δὲ τοῦ πατρὸς καὶ ποιητοῦ τῶν

1. Vide Herodotum lib. 2.

ὅλων, ἐναποσφραγίσηται ψευδεῖς περὶ αὐτῆς δόξας· οἱ περὶ τὴν ὕλην δαίμονες λίχνοι περὶ τὰς κνίσσας καὶ τὸ τῶν ἱερείων αἷμα ὄντες, ἀπατηλοὶ δὲ ἀνθρώπων, προσλαβόντες τὰς ψευδοδόξους ταύτας τῶν πολλῶν τῆς ψυχῆς κινήσεις, φαντασίας αὐτοῖς, ὡς ἀπὸ τῶν εἰδώλων καὶ ἀγαλμάτων, ἐπιβατεύοντες αὐτῶν [1] τοῖς νοήμασιν, εἰσρεῖν παρέχουσι· καὶ ὅσα καθ' αὐτὴν, ὡς ἀθάνατος οὖσα, λογικῶς κινεῖται ψυχὴ, ἢ προμηνύουσα τὰ μέλλοντα, ἢ θεραπεύουσα τὰ ἐνεστηκότα, τούτων τὴν δόξαν καρποῦνται οἱ δαίμονες.

Αναγκαῖον δὲ ἴσως, κατὰ τὰ προειρημένα, περὶ τῶν ὀνομάτων ὀλίγα εἰπεῖν. Ηρόδοτος μὲν οὖν καὶ Αλέξανδρος ὁ τοῦ Φιλίππου, ἐν τῇ πρὸς τὴν μητέρα ἐπιστολῇ, (ἑκάτεροι δὲ ἐν τῇ Ηλιοπόλει, καὶ Μέμφει καὶ Θήβαις, εἰς λόγους τοῖς ἱερεῦσιν ἀφῖχθαι λέγονται) φασὶ παρ' ἐκείνων, ἀνθρώπους αὐτοὺς γενέσθαι, μαθεῖν. Ηρόδοτος μὲν, [2] ἤδη ὧν τῶν αἱ εἰκόνες ἦσαν, τοιούτους

1. Gesnerus legit τοῖς ὀνόμασιν.
2. Herodot. lib. 2.

ἀπο-

universorum cogitatione complexa, talsis ipsa de se opinionibus fuerit imbuta: dæmones illi materiæ dediti, nidoris & sanguinis victimarum avidi, & hominum impostores, per falsos illos & vanos in vulgi ac imperitorum animis motus [instrumenta quædam] imaginationes quasdam, tanquam ab idolis & simulacris, quorum ipsi nomina usurpant, profectas, eis infundunt. Et quum suapte vi ac ratione anima, utpote immortalis plerunque moveatur & agat in homine, ita ut futura prædicat, & rerum præsentium statum dirigat aut emendet, hujus sapientiæ laudem dæmones sibi lucrantur.

Sed de nominibus etiam deorum aut dæmonum ut aliquid adferamus, quæ antehac exposita sunt, postulare videntur. Herodotus itaque, & Alexander Philippi filius, in epistola ad matrem (qui utrique in diversis civitatibus Ægypti, Heliopoli, Memphi & Thebis, in colloquium cum sacerdotibus venisse dicuntur) homines eos fuisse, ex illis cognovisse se aiunt. Sic enim scribit Herodotus: Eos itaque quorum imagines erant, [pontificum, in grandi quodam cœnaculo,] demonstrabant tales

les omnes extitiſſe, [eo vultu & forma corporis, habituque in vita] ſed multum à diis diſtantes. Priores tamen his viris fuiſſe deos in Ægypto Principes, una cum hominibus habitantes: & eorum ſemper unum extitiſſe dominatorem, & poſtremum illic regnaſſe Orum Oſiridis filium, quem Græci Apollinem nominant. Hunc, poſtquam extinxit Typhonem, regnaſſe in Ægypto poſtremum. Oſiris Græca lingua eſt Dionyſus [id eſt Liber.] Ergo tum alii tum ultimus rex Ægypti, homines fuerunt. Ab illis vero ad Græcos tranſlata ſunt nomina deorum. Apollo Dionyſi & Iſidis filius fiat: ut idem Herodotus ait. Apollinem & Dianam aiunt Dionyſi filios eſſe: Latonam vero, nutricem horum ac liberatricem. Quos cœleſti origine natos, primos habuerunt reges: & partim ignorantia veræ erga Deum pietatis, partim quod imperio eorum adularentur,una cum uxoribus eorum, divinis honoribus affecerunt. Boves mares eoſdemque mundos [inquit Herodotus] ac vitulos univerſi Ægyptii immolant: fœminas eis immolare non licet, utpote Iſidi conſecratas. Nam Iſidis ſimulacrum, mu-
liebre

‘ἀποδείκνυσαν σφέας αὐτοὺς ἐόντας, θεῶν
‘ δὲ πολλὸν ἀπαλλαγμένους. τὸ δὲ πρότερον
‘ τῶν ἀνδρῶν τούτων, θεοὺς εἶναι τοὺς ἐν Αἰ-
‘ γύπτῳ ἄρχοντας, οὐκ ἐόντας ἅμα τοῖσι
‘ ἀνθρώποισι, καὶ τούτων αἰεὶ ἕνα τὸν κρατέ-
‘ οντα εἶναι. ὕστατον δὲ αὐτῆς βασιλεῦσαι
‘ Ὧρον τὸν Οσίριος παῖδα, τὸν, Απόλλωνα Ελ-
‘ λῆνες ὀνομάζουσι· τοῦτον καταπαύσαντα
‘ Τυφῶνα, βασιλεῦσαι ὕστατον Αἰγύπτου. Ο-
‘ σιρις δὲ ἐστι Διόνυσος κατὰ Ελλάδα
‘ γλῶσσαν. οἵ τε οὖν ἄλλοι, καὶ τελευταῖος,
βασιλεὺς Αἰγύπτου. παρὰ δὲ τούτων εἰς
Ελληνας ἦλθε τὰ ὀνόματα τῶν θεῶν. Α-
πόλλων ὁ Διονύσου καὶ Ισιδος, ὡς ὁ αὐ-
τὸς Ηρόδοτος λέγει· ‘ Απόλλωνα δὲ καὶ Αρ-
‘ τεμιν, Διονύσου καὶ Ισιος λέγουσιν εἶναι
‘ παῖδας· Λητοῦν δὲ, τροφὸν αὐτοῖσι σώτει-
‘ ραν γενέσθαι. οὓς οὐρανίους γεγονότας, προεῖ-
χον βασιλέας ἔσχον· πῆ μὲν, ἀγνοίᾳ τῆς
ἀληθοῦς περὶ τὸ θεῖον εὐσεβείας, πῆ δὲ,
χάριτι τῆς ἀρχῆς θεοὺς ὁμοῦ ταῖς γυναιξὶν
αὐτῶν ἦγον. ‘ τοὺς μὲν νυν καθαροὺς τοὺς ἔρ-
‘ σενας τῶν βοῶν, καὶ τοὺς μόσχους οἱ πάντες Αἰ-
‘ γύπτιοι θύουσι· τὰς δὲ θηλέας οὔ σφιν
‘ ἔξεστι θύειν, ἀλλὰ ἱραί εἰσι τῆς Ισιος·
‘ Τὸ γὰρ τῆς Ισιος ἄγαλμα, ἐὸν γυναικήιον, βούκε-

‘ ρων

ρῶ ὅτι, καθάπερ οἱ Ἕλληνες τὴν ἱστορίαν γράφουσι. τίνες δ' ἂν μᾶλλον ταῦτα πιστεύσειεν λέγοντες, ἢ οἱ κατὰ διαδοχὴν γένους, παῖς παρὰ πατρὸς, ὡς τὴν ἱερωσύνην, καὶ τὴν ἱστορίαν διαδεχόμενοι. οὐ γὰρ τοὺς σεμνοποιοῦντας ζακόρους τὰ εἴδωλα, εἰκὸς ἀνθρώποις αὐτοὺς γενέσθαι ψεύδεσθαι. εἴ τι μὲν οὖν Ἡρόδοτος ἔλεγε, περὶ τῶν θεῶν, ὡς περὶ ἀνθρώπων, ἱστορεῖν Αἰγυπτίους, καὶ λέγοντι τῷ Ἡροδότῳ, τὰ μὲν νῦν θεῖα τῶν ἀφηγημάτων, οἷα ἤκουον, [1] οὐκ εἰμὶ πρόθυμος διηγεῖσθαι ἐξ ὧν τὰ ὀνόματα αὐτέων μοῦνα ἐλάχιστα· μὴ πιστεύειν ὡς μυθοποιῷ ἔδει. ἐπεὶ Ἀλέξανδρος, καὶ Ἑρμῆς ὁ τρισμέγιστος ἐπικαλούμενος, [2] συνάπτων τὸ ἀΐδιον αὐτοῖς γένος, καὶ ἄλλοι μυρίοι (ἵνα μὴ καθ' ἕκαστον καταλέγοιμι) οὐδὲ λόγος ἔτι καταλείπεται, βασιλεῖς ὄντας αὐτοὺς μὴ νενομίσθαι θεούς· καὶ ὅτι μὲν ἀν-

1. Gesnerus legit οὐκ εἰμὶ πρόθυμος ἐξηγέεσθαι ἔξω ἢ τὸ οὐνόματα αὐτέων μοῦνον, νομίζων πάντας ἀνθρώπους ἴσα περὶ αὐτέων ἐπίστασθαι. Et subjungit, μὴ πιστεύει ὡς μυθ. &c.

2. Idem ex conjectura legit συμφωνοῦσι μὴ εἶναι ἀΐδιον αὐτοῖς γένος.

θρωποι,

liebre est, bubulis præditum cornibus, quemadmodum Io Græci describunt. Cuinam vero fides his de rebus æquius adhiberetur, quam qui à majoribus suis, secundum generis successionem, filii subinde à parentibus, ut sacerdotii munus, ita historiam acceperunt? Neque enim ipsos ministros ædium sacrarum, qui magnificare idola assolent, deos suos homines fuisse mentiri velle [si res haberet] verisimile est. Quod si Herodotus solus diceret, Ægyptios tradere, illos qui pro diis ducuntur, olim homines fuisse: forsan ei hæc prodenti, & hujusmodi (atque ex iis narrationibus, quæ ad rem divinam pertinentia [ex sacerdotibus Ægyptiis] audivi, ea non libenter enuntiaverim, nisi ipsorum tantummodo nomina: æquum existimans omnes homines idem sentire de his) tanquam fabulatori, fides habenda non esset. Nunc quoniam Alexander quoque & Mercurius ille termaximi cognomento, generis eorum æternitatem consentientes inter se negant,& alii insuper innumeri (quid enim singulos recenserem?) ne suspicandi quidem locus relinquitur, quin reges quum essent, divini cultus

tus eis decreti ſint. Hoc & doctiſſimi quique Ægyptiorum teſtantur: qui deorum nomine cœlum, terram, ſolem & lunam comprehendunt. reliquos vero, homines mortales exiſtimant, & templa, ipſorum ſepulcra. Idem in libro de deis Apollodorus docet. Herodotus etiam paſſiones eorum, myſteria nominat. In Buſiri urbe (inquit) quod diem feſtum Iſidi agant, ſuperius à me dictum eſt. Verberantur enim poſt ſacrificium cuncti, multa ſane hominum milia, viri & mulieres. Quomodo autem [alias, quo autem] verberentur, non eſt mihi fas dicere. Si dii ſunt, immortales ſunt: ſin verberantur, & paſſiones eorum myſteria ſunt, homines fuerint. Rurſus enim Herodotus, ſunt etiam, inquit, ſepulcra (cujus nomen ſi nuncupavero hac in re, haud ſancte fecero) in urbe Sai in templo Minervæ, poſt totum delubrum, ejus parieti contiguæ. Atque in fano ſtant ingentes obeli [id eſt verua] lapidei: locuſque contiguus lapide à baſi adornatus, & circunquaque probe elaboratus: magnitudine, ut mihi videbatur, quanta in Delo lacus qui dicitur trochoides. In hoc ſimulacra habentur

θρωποι, δηλοῦσι μὲν καὶ Αἰγυπτίων οἱ λογι-
ώτατοι, οἱ θεοὺς λέγοντες, αἰθέρα, γῆν,
ἥλιον, σελήνην, τοὺς ἄλλους ἀνθρώπους θνη-
τοὺς νομίζουσι, καὶ ἱερὰ τοὺς τάφους αὐτῶν· δη-
λοῖ δὲ καὶ Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν.
Ἡρόδοτος δὲ καὶ τὰ [1] μαθήματα αὐτῶν φησὶ
μυστήρια. ‘ [2] ἐν δὲ Βουσίρι πόλει, ὡς ἀνάγουσι
‘ τῇ Ἴσι τὴν ἑορτήν, εἴρηται πρότερόν μοι. τύ-
‘ πτονται γὰρ δὴ μετὰ τὴν θυσίην πάντες καὶ
‘ πᾶσαι, μυριάδες κάρτα πολλαὶ ἀνθρώπων.
‘ τὸν δὲ τύπτονται τρόπον, οὔ μοι ὅσιόν ἐστι λέ-
‘ γειν. εἰ θεοί, καὶ ἀθάνατοι· εἰ δὲ τύπτονται,
καὶ τὰ πάθη ἐστὶν αὐτῶν μυστήρια, ἄνθρω-
ποι· ὡς αὐτὸς Ἡρόδοτος, [3] ‘ εἰσὶ δὲ καὶ αἱ
‘ ταφαί, τοῦ οὐκ ὅσιον ποιεῦμαι ἐπὶ τοιούτῳ
‘ πρήγματι ἐξαγορεύειν τὸ οὔνομα. ἐν Σάϊ,
‘ ἐν τῷ ἱρῷ τῆς Ἀθηναίης, ὄπισθεν τοῦ νηοῦ
‘ παντὸς τοῦ τῆς Ἀθηναίης ἐχόμενον τοῖχον.
‘ λίμνη δ' ἐστὶν ἐχομένη λιθίνη κρηπῖδι κε-
‘ κοσμημένη ἐν κύκλῳ, μέγεθος, ὡς ἐμοὶ
‘ δοκέει, ὅση περ ἐν Δήλῳ ἡ τροχοειδὴς κα-
‘ λεομένη. ἐν δὲ τῇ λίμνῃ ταύτῃ τὰ δί-

---

1. MB. παθήματα.
2. Herodot. lib. 2.
3. Herodot. lib. 2. ex quo lege ἐν τῷ ἱρῷ τῆς Ἀθηναίης, ὄπισθε τοῦ νηοῦ παντὸς ἐχόμεναι τοίχου, καὶ ἐν τῷ τεμένει ὀβελοὶ ἑστᾶσι μεγάλοι,

"κηλα τῶν παθέων αὐτοῦ νυκτὸς καλέουσι "μυστήρια Αἰγύπτιοι. καὶ οὐ μόνον ὁ τάφος τοῦ Ὀσίριδος δείκνυται, ἀλλὰ καὶ ταριχεία· ἐπὰν σφίσι κομισθῇ νεκρὸς, δεικνύασι τοῖσι κομίσασι παραδείγματα τῶν νεκρῶν ξύλινα τῇ γραφῇ μεμιμημένα· καὶ τὴν μὲν σπουδαιοτάτην αὐτέων φασὶν εἶναι τοῦ οὐκ ὅσιον ποιεῦμαι οὔνομα ἐπὶ τοιούτῳ πρήγματι ὀνομάσειν. ἀλλὰ καὶ Ἑλλήνων οἱ περὶ ποίησιν καὶ ἱστορίαν σοφοὶ, περὶ μὲν Ἡρακλέους,

[1] Σχέτλιος οὐδὲ θεῶν ὄπιν ᾐδέσατ᾽ οὐδὲ τράπεζαν,
Τὴν δή οἱ παρέθηκεν· ἔπειτα δὲ πέφνε καὶ αὐτὸν
[2] Ἴφιτον.

Τοιοῦτος ὢν, εἰκότως μὲν ἐμαίνετο· εἰκότως δὲ, ἀνάψας πυρὰν, κατέκαυσεν αὐτόν. περὶ δὲ Ἀσκληπιοῦ Ἡσίοδος μὲν,

—— [3] πατὴρ ἀνδρῶν δὲ ——

λίθινοι. λίμνη τε ἐστὶ λιθίνῃ κρηπῖδι κεκοσμημένη καὶ εἰργασμένη εὖ κύκλῳ, μέγεθος ὡς ἐμοὶ ἐδόκεειν, ὅση περ οἱ ἐν Δήλῳ, τροχοειδὴς καλεομένη. ἐν δὲ τῇ λίμνῃ ταύτῃ τὰ δείκηλα.

1. Hom. Odyſ. φ'.
2. Hic accuſativus non eſt apud Homerum.
3. Hi verſus Heſiodi in ipſius poematis non inveniuntur.

Οτ᾽

passionum ejus, quæ mysteria nocturna Ægyptii vocant. Non solum autem simulacrum Osiridis [apud Ægyptios,] sed conditura quoque ostenditur. Et alibi, Certi quidam homines condiendis mortuorum corporibus constituti sunt, qui, quum ad ipsos cadaver portatum est, ostendunt iis qui portaverunt exemplaria mortuorum lignea, pingendo assimulata. Et eorum unum accuratissime fabrefactum esse aiunt: cujus ego nomen si nuncupavero, haud faciam sancte. Quinetiam ex Græcis quidam eruditione circa poesin & historias clari, diis suis passiones quasdam animi absurdas tribuunt, ut Herculi Homerus,

Crudelis, quem non potuit reverentia Divum,
Non jus hospitii fidum, sacrataque mensa,
Flectere, quin ipsum misere demitteret Orco.

Talis si fuit Hercules, mirum non est quod insanivit, quodque rogo succenso seipsum cremavit. De Æsculapio autem Hesiodus,

— Pater hominumque deumque

Fulmine Latoiden, ſublimis ab æthere, diro
Iratus percuſſit.

Et Pindarus,

Vincitur & ſapientia lucri ſpe.
Ceſſit & Aſclepius auro
Præſenti, opifer virum
Jam letho functum ut revocaret.
Iratus at illos Saturnius
Atro fulmine trajecit.
Unde viis ſpirandi clauſis,
Ambo interierunt ſtatim.

Atqui tales ſi dii fuerunt; quis credat ita pecuniæ & auri cupidine captos, ut homines ſolent?

O quam beari ſe putat ab auro genus
Mortalium: non ut magis vel liberi
Parentibus, vel gaudeant hi liberis.

Nulla enim re indiget Numen, & omnem concupiſcentiam ſuperat. Sed neque mortem obire potuiſſent. Sin homines, improbi illi profecto, rudes, & nimium avari erant. Quid multa? An etiam Caſtor & Pollux & Amphiaraus me detinebunt; qui

---

Ανδρ' ἐκ θανάτου κομίσσαι
Ηδη ἑαλωκότα. χερσὶ δ' ἄρα Κρονίων
Ρίψας &c.

3. Euripid.

4. MB. δεξίωμα.

5. Geſnerus Leget τί δεῖ vel τί με δεῖ.

non

Οτ᾽ ἐχώσατ᾽ ἀπ᾽ Οὐλύμπου δὲ βαθὺν
ψολόεντι κεραυνῷ,
Εκλανε Λητοΐδην, φίλον σῦν θυμὸν ὀρίνων.

Πίνδαρος δὲ,

1 Αλλὰ κέρδει καὶ σοφία δέδεται.
Ετραπε κᾀκεῖνον ἀγάνορι μι-
σθῷ χρυσὸς [2] ἐν χερσὶ φανείς.
Χερσὶ δ᾽ ἄρα Κρονίων
Ρίψας δι᾽ ἀμφοῖν, ἀμπνοὰν
Στέρνων καθεῖλεν
Ωκέως. αἴθων δὲ κεραυ——
νὸς ἐνέσκηψε μόρον.

ἢ τοίνυν θεοὶ ἦσαν, καὶ οὔτε αὐτοὶ πρὸς χρυσὸν εἶχον·

3(Ω χρυσὲ, [4] δεξίωμα κάλλιστον βροτοῖς,
Ως οὔτε μήτηρ ἡδονὰς τοιάσδ᾽ ἔχει,
Οὐ παῖδες.--)

ἀνεπιδεὲς γὰρ καὶ κρεῖττον ἐπιθυμίας τὸ θεῖον· οὔτε ἀπέθνησκον. ἢ ἄνθρωποι γεγονότες, καὶ πονηροὶ δι᾽ ἀμαθίαν ἦσαν, καὶ χρημάτων ἐλάττους. [5] τί με πολλὰ λέγειν, ἢ Κάστορος ἢ Πολυδεύκους μνημονεύοντα, ἢ Αμφιαρέω, οἳ, ὡς εἰπεῖν λόγῳ, χθὲς καὶ

1. Pindar. in Pythiis.
2. Post ἐν χερσὶ φανεὶς Gesnerus legit ex Cod. Pind.

περὶ ὧν ἄνθρωποι ἐξ ἀνθρώπων γεγονότες, θεοὶ νομίζονται· ὁπότε καὶ Ἰνὼ μετὰ τὴν μανίαν καὶ τὰ ἐπὶ τῆς μανίας πάθη, θεὸν δοξάζουσι γεγονέναι;

Πόντου πλάνητες Λευκοθέαν ἐπώνυμον. καὶ τὸν παῖδα αὐτῆς,

Σεμνὸς Παλαίμων ναυτίλοις κεκλήσεται.

εἰ γὰρ καὶ [1] ὡς ἀπόπτυστοι καὶ θεοστυγεῖς, δόξαν ἔσχον εἶναι θεοί, καὶ ἡ θυγάτηρ τῆς Δερκετοῦς Σεμίραμις, λάγνος γυνὴ καὶ μιαιφόνος, ἔδοξε Συρία θεός· καὶ διὰ τὴν Δερκετὼ, καὶ τὰς περιστερὰς καὶ τὴν Σεμίραμιν σέβουσι Σύροι. (τὸ γὰρ ἀδύνατον, εἰς περιστερὰν μετέβαλεν ἡ γυνή· ὁ μῦθος παρὰ Κτησίᾳ·) τί θαυμαστὸν τοὺς μὲν ἐπὶ ἀρχῇ καὶ τυραννίδι, ὑπὸ τῶν κατ᾽ αὐτοὺς κληθῆναι θεούς; Σίβυλλα, (μέμνηται δ᾽ αὐτῆς καὶ Πλάτων)

[2] Δὴ τότε δὴ [3] δεκάτη γενεὴ μερόπων ἀνθρώπων,

Ἐξ οὗ δὴ κατακλυσμὸς ἐπὶ προτέροις γένετ᾽ ἄνδρας,

Καὶ βασιλεὺς Κρόνος, καὶ Τιτὰν, Ἰαπετός τε,

1. Gesnerus legit οἱ.
2. Sibyll. l. 3.
3. Lege δεκάτη γενεή.

non ita dudum homines ex hominibus nata numina censentur? Quid quod etiam Ino fœminam, post suum furorem, & quæ in illo perpessa est, deorum ordini ascisсunt?

Periclitantes in mari hanc cognomine
Divam vocabunt Leucotheam.

Et de filio,

Nautæ invocabunt opiferum Palæmonem.

Quod si reprobi etiam & Deo invisi homines, in deorum numerum relati sunt: & Dercetus filia Semiramis, libidinosa & sanguinaria mulier, Syriæ deæ nomine culta est: & propter eandem Dercetum, columbas & Semiramin honorant Syri (& in columbam enim mutata est mulier, ut nugatur Ctesias:) quid mirum si imperio & tyrannide florentes aliqui, à subditis deorum nomine nuncupati sint? Consentit nobis Sibylla; cujus & Plato meminit,

Extitit in terris decimum mortalibus ævum,
Postquam diluviis homines periere priores:
Porro Saturnus, & Titan, Japetusque

Regnarunt: Cœlo quos & Tellure creatos

Dixerunt homines, Terræ Cœlique vocantes

Nomine: quod cunctos homines virtute præirent.

Alii vero propter ſui corporis robur diis adnumerati ſunt, & Hercules & Perſeus. Alii ob præſtantiam artis, ut Æſculapius. Itaque factum eſt, ut alios ipſi ſubditi ultro [& aſſentatione] venerarentur: alii vero à ſubditis, vel metu affectis, vel virtutis ipſorum reverentia invitatis, cultum divinum obtinerent. Antonoo quoque, majorum veſtrorum facilitate, contigit ut à ſubditis Dei loco haberetur: cujus etiam poſteri cultum, nulla amplius inquiſitione habita, admiſerunt.

Mendaces ſemper Cretes ſunt: atque ſepulcrum

Creta tuum oſtendit defuncti Juppiter: at tu

Immortalis eras, es, eriſque per omnia ſecla.

Tu vero Callimache, genitum quum credas Jovem, non admittis ſepul-

[1] Γαίης τέκνα φέρισα, καὶ οὐρανίους ἐκά-
λεσαν
Ανθρωποι, Γαῖάν τε καὶ Οὐρανὸν οὔνομα
θέντες,
Ουὕνεκα οἱ πρῶτοι ἔσαν μερόπων ἀν-
θρώπων.

τοὺς δ' ἐπ' ἰσχύϊ, ὡς Ηρακλέα καὶ Περσέα· τοὺς δ' ἐπὶ τέχνῃ, ὡς Ασκληπιόν. οἷς μὲν οὖν ἢ αὐτοὶ οἱ ἀρχόμενοι τιμῆς μετεδίδοσαν, ἢ αὐτοὶ οἱ ἄρχοντες, οἱ μὲν φόβῳ, οἱ δὲ καὶ αἰδοῖ, μετεῖχον τοῦ ὀνόματος. καὶ Αντίνους, φιλανθρωπίᾳ τῶν ὑμετέρων προγόνων, πρὸς τοὺς ὑπηκόους ἔτυχε νομίζεσθαι θεός. οἱ δὲ μετ' αὐτοὺς, ἀβασανίστως παρεδέξαντο.

[2] Κρῆτες ἀεὶ ψεῦσται· καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο
Κρῆτες ἐτεκτήναντο· σὺ δ' οὐ θάνες.--
πιστεύων, Καλλίμαχε, τοῖς γοναῖς τοῦ Διὸς,

1. Γαίης τέκνα φέρισα καὶ Οὐρανοῦ ἐξεκάλεσαν
Ανθρωποι, Γαίης τε καὶ Οὐρανοῦ ὄνομα θέντες,
Ουὕνεκα οἱ προφέρεσοι ἔσαν μερόπων ἀνθρώπων.
2. Callimachus in Hymno Jovis.

ἀπιστεῖς αὐτοῦ τῷ τάφῳ, καὶ νομίζων ἐπισκιάσειν τἀληθὲς, καὶ τοῖς ἀγνοοῦσι κηρύσσεις τὸν τεθνηκότα; κἂν μὲν τὸ ἄντρον βλέπῃς, τῆς Ῥέας ὑπομιμνήσκῃ τόκον· ἂν δὲ τὴν σορὸν ἴδῃς, ἐπισκοπεῖς τῷ τεθνηκότι, οὐκ εἰδὼς ὅτι μόνος ἀΐδιος ὁ ἀγέννητος θεός. ἢ γὰρ ἄπιστοι οἱ ὑπὸ τῶν πολλῶν καὶ ποιητῶν λεγόμενοι μῦθοι περὶ τῶν θεῶν, καὶ περιττὴ ἡ περὶ αὐτοὺς εὐσέβεια. οὐ γάρ εἰσιν ὧν ψευδεῖς οἱ λόγοι. ἢ εἰ ἀληθεῖς αἱ γενέσεις, οἱ [1] ἔρωντες, αἱ μιαιφονίαι, αἱ κλοπαὶ, αἱ ἐκτομαὶ, οἱ κεραυνοὶ, οὐκέτ' εἰσὶ, παυσάμενοι εἶναι. ἐπεὶ καὶ ἐγένοντο, οὐκ ὄντες. τίς γὰρ τοῖς μὲν πιστεύειν, λόγος, τοῖς δὲ ἀπιστεῖν, [2] ἐπὶ τὸ σεμνότερον περὶ αὐτῶν τῶν ποιητῶν ἱστορηκότων; οὐ γὰρ ἂν δι' οὓς ἐνομίσθησαν θεοὶ, σεμνοποιήσαντας τὴν κατ' αὐτοὺς ἱστορίαν, οὗτοι τὰ πάθη τὰ αὐτῶν ἐψεύσαντο. ὡς μὲν οὖν οὐκ ἐσμὲν ἄθεοι, θεὸν ἄγοντες τὸν ποιητὴν τοῦδε τοῦ παντὸς, καὶ τὸν

1. MB. οἱ ἔρωτες.

2. Simili argumento usus est superius à sacerdotibus Ægypti, qui & ipsi deos mortales faciunt.

παρ'

sepulcrum? Imo quum veritatem ita te putes obumbraturum ignorantibus, etiam ut mortuum esse non dubie suspicentur, auctor es? Tu quum vides antrum, Rheæ partum animo recolis: loculum vero cernens, mortem ejus offuscas: nescis nimirum solum æternum esse Deum, qui & ingenitus est. Certe aut fide dignæ] non sunt quas de Diis vulgus hominum & poetæ celebrant fabulas, & superfluus omnis illorum cultus est: (neque enim usquam extant illi de quibus inanes feruntur fabulæ:) aut si vere prædicantur eorum generationes, amores, cædes, furta, castrationes, fulmina; non amplius sunt, & jampridem esse desierunt: ita ut antequam nascerentur etiam, non erant. Quæ enim ratio hæc persuadebit, ut gigni quidem credamus, interire non item? Atqui credibile non est, poetas, à quibus & dii esse crediti sunt, & historia eorum splendide celebrata est, passiones & mortes eorum ementiendo, gloriæ ipsorum detrahere voluisse. Quantum igitur in me fuit, etsi non pro dignitate rei, nequaquam nos esse à Deo alienos, qui universitatis hujus opificem, simulque ejus Verbum,

bum, ceu verum Deum veneramur, demonſtratum eſt.

Illi vero etiam epulas deteſtandas & concubitus inceſtos fingere de nobis audent, partim ne temere nobis incenſi videantur: partim quod ita exiſtiment vel nos metu perculſos à noſtra profeſſione abduci: vel principum animos, propter flagitiorum magnitudinem, adverſus nos concitari & exaſperari poſſe. Nos vero illudi nos intelligimus, & non contra nos tantum, ſed omnibus retro ſeculis, morem hunc fuiſſe ſcimus divina quadam lege & ratione, ut contrariam ſibi virtutem improbitas impugnaret. Sic & Pythagoras cum trecentis aliis igne combuſtus eſt: Democritus ab Ephesiis pulſus: Heraclitum Abderitæ, tanquam inſanum, exilio, Socratem Athenienſes morte affecerunt. Verum ut illorum virtus nihil eſt imminuta propter exiſtimationem vulgi: ſic nobis etiam temerariæ quorundam calumniæ ſanctioris vitæ inſtitutum non obſcurant: neque per eas gloriæ noſtræ coram Deo aliquid decedit. Reſpondebo tamen ad hæc etiam objecta nobis facinora: etiamſi vobis, ſapientiſſimi principes,

παρ᾽ αὐτοῦ λόγον· κατὰ δύναμιν τὴν ἐμὴν, εἰ καὶ μὴ πρὸς ἀξίαν, ἐλήλεγκται.

Ἔτι δὲ, καὶ βορὰς καὶ μίξεις λογοποιοῦσιν ἀθέοις καθ᾽ ἡμῶν, ἵνα τε μισεῖν [1] νομίζοιεν μετὰ λόγου, καὶ οἰόμενοι τῷ δεδίττεσθαι, ἢ τῆς ἐνστάσεως ἀπάξειν ἡμᾶς τοῦ βίου, ἢ πικροὺς καὶ ἀπαραιτήτους, τῇ τῶν αἰτιῶν ὑπερβολῇ, τοὺς ἄρχοντας παρασκευάσειν πρὸς εἰδότας παίζοντες, ὅτι ἄνωθέν πως ἔθος, καὶ οὐκ ἐφ᾽ ἡμῶν μόνον, κατά τινα θεῖον νόμον καὶ λόγον παρηκολούθηκε, προσπολεμεῖν τὴν κακίαν τῇ ἀρετῇ. οὕτω καὶ Πυθαγόρας μὲν ἅμα τριακοσίοις ἑτέροις κατεφλέχθη πυρί, Ἡράκλειτος δὲ καὶ Δημόκριτος, ὁ μὲν, τῆς Ἐφεσίων πόλεως ἠλαύνετο, ὁ δὲ τῆς Ἀβδηριτῶν, ἐπικατηγορούμενος μεμηνέναι· καὶ Σωκράτους Ἀθηναῖοι θάνατον κατέγνωσαν. ἀλλ᾽ ὡς ἐκεῖνοι οὐδὲν χείρους εἰς ἀρετῆς λόγον, διὰ τὴν τῶν πολλῶν δόξαν· οὐδ᾽ ἡμῖν οὐθὲν ἐπισκοτεῖ πρὸς ὀρθότητα βίου ἡ παρά τινων ἄκριτος βλασφημία. εὐδοξοῦμεν γὰρ παρὰ τῷ θεῷ. πλὴν ἀλλὰ καὶ πρὸς ταῦτα ἀπαντήσω τὰ ἐγκλήματα. ὑμεῖς μὲν οὖν καὶ δι᾽ ὧν εἰ-

[1] Melius νομίζοιντο.

ρηκα, εὖ οἶδα ἀπολελογῆσθαι [1] ἐμαυτόν. συνέσει γὰρ πάντας ὑπερφρονοῦντες, οἷς ὁ βίος ὡς πρὸς στάθμην τὸν θεὸν κανονίζεται, ὅπως ἀνυπαίτιος καὶ ἀνεπίληπτος [2] ἑκάστου ἡμῶν ἄνθρωπος αὐτῷ γένοιτο, ἴστε τούτους μηδ᾽ εἰς ἔννοιάν ποτε τοῦ βραχυτάτου ἐλευσομένους ἁμαρτήματος. εἰ μὲν γὰρ ἕνα τὸν ἐνταῦθα βίον βιώσεσθαι πεπείσμεθα, κἂν ὑποπλεύειν ἐνῆν, δουλεύοντας σαρκὶ καὶ αἵματι, ἢ κέρδοις ἢ ἐπιθυμίας ἐλάττοις γινομένοις, ἁμαρτεῖν· ἐπεὶ δὲ ἐφεστηκέναι μὲν οἷς ἐννοοῦμεν, οἷς λαλοῦμεν, καὶ νύκτωρ καὶ μεθ᾽ ἡμέραν τὸν θεὸν οἴδαμεν, πάντα δὲ φῶς αὐτὸν ὄντα, καὶ τὰ ἐν τῇ καρδίᾳ ἡμῶν ὁρᾶν, πεπείσμεθα [3] τοῦ ἐνταῦθα ἀπαλλαγέντες βίου, βίον ἕτερον βιώσεσθαι ἀμείνονα ἢ κατὰ τὸν ἐνθάδε, καὶ ἐπουράνιον, οὐκ ἐπίγειον, ὡς ἂν μετὰ θεοῦ καὶ σὺν θεῷ ἀκλινεῖς καὶ ἀπαθεῖς τὴν ψυχὴν, οὐχ ὡς σάρκες, κἂν ἔχωμεν, ἀλλ᾽ ὡς οὐράνιον πνεῦμα, μενοῦμεν· ἢ συγκαταπίπτοντες τοῖς λοιποῖς χείρονα, καὶ διὰ πυρός· (οὐ γὰρ καὶ ἡμᾶς ὡς πρόβατα ἢ ὑποζύ-

1. Legendum ἐμαυτὸν νομίζειν, συνέσει γὰρ πάντας ὑπερφρονοῦντες. οἷς γὰρ ὁ βίος &c.

1. Legit Gesnerus ἕκαστος.

2. Lege καὶ τὸν ἐνταῦθα.

για,

cipes, ex iis etiam quæ hactenus dixi, satis ea esse dissoluta videri possint. Neque enim dubitare vos puto, homines illos, quorum vita omnis ad Deum, veluti normam ac regulam dirigitur, ut inculpatum & irreprehensibilem unusquisque ei se præbeat, ne cogitatione quidem vel minimum crimen ullum admissuros. Si enim solam hanc præsentem vitam nos victuros crederemus, suspicioni foret locus, nos carni & sanguini indulgentes, aut avaritia aut concupiscentia captos, peccare, nos vero omnibus [non modo factis, sed etiam] cogitationibus & sermonibus nostris, tum noctu tum interdiu, Deum adesse scimus: eumque & totum esse lumen, & quæ in cordibus nostris latent videre, & hac mortali defunctos vita, alteram hac terrestri longe meliorem, nempe cœlestem, nos victuros, (ut apud Deum & cum ipso, jam immutabiles & impassibili anima, non tanquam caro, etiamsi eam circumferamus, sed tanquam spiritus cœlestis, maneamus) non autem aliorum lapsus sequuti, deteriorem & in suppliciis ignis, persuasi sumus. Non enim nos quoque Deus obiter tanquam pecora aut jumenta,

neque ut periremus & aboleremur, creavit. Quod quum ita se habeat, sponte nos malos esse, & magno judici tradere nos ipsos puniendos velle, probabile non est. Illos quidem ea de nobis fingere, quæ de suis etiam diis referunt: quorum [ut dixi] passiones [& libidines] mysteria nominant, mirum non est. Atqui si licentiosum & promiscuum coitum tantopere damnant, oportebat eos vel Jovem odisse, qui ex Rhea matre, & Core [Proserpina] filia liberos sustulit, & sorori suæ matrimonio junctus est: vel Orpheum poetam & fictorem hujusmodi scelerum, qui ipso etiam Thyeste detestandum magis ac scelestum Jovem fecit. Nam Thyestes etiam oraculo monitus ut se suumque regnum conservaret, cum filia rem habuit. Nos certe tantum à promiscua illa Venere absumus, ut ne intuitus quidem nobis lascivior aut libidini conjunctus permittatur. Nam qui mulierem, inquit [magister noster] vel aspectu sibi desiderarit, adulterium jam corde suo designavit. Quomodo igitur non castos aut pudicos suspicetur aliquis illos, quibus in alium usum oculos suos vertere nefas est quam à Deo conditi sunt, hoc est
ut

για, πάρεργον, καὶ ἵνα ἀπολοίμεθα καὶ ἀφανισθείημεν, ἔπλασεν ὁ θεὸς) ἐπὶ τούτοις οὐκ εἰκὸς ἡμᾶς ἐθελοκακεῖν, οὐδ᾽ αὐτοὺς τῷ μεγάλῳ παραδιδόναι κολασθησομένους δικαστῇ. τοὺς μὲν οὖν θαυμαστὸν οὐδὲν λογοποιεῖν περὶ ἡμῶν ἃ περὶ τῶν σφετέρων λέγουσι θεῶν, καὶ τὰ πάθη αὐτῶν δεικνύουσι μυστήρια. χρῆν δ᾽ αὐτούς, εἰ δεινὸν τὸ ἐπ᾽ ἀδείας καὶ ἀδιαφόρως μίγνυσθαι, κρίνειν ἔμελλον, ἢ τὸν Δία μεμισηκέναι, ἐκ μητρὸς μὲν Ῥέας, θυγατρὸς δὲ Κόρης πεπαιδοποιημένον, γυναικὶ δ᾽ ἰδίᾳ ἀδελφῇ χρώμενον· ἢ τὸν τούτων ποιητὴν Ὀρφέα, ὅτι καὶ ἀνόσιον ὑπὲρ τὸν Θυέστην καὶ μιαρὸν ἐποίησε τὸν Δία. καὶ γὰρ ἐκεῖνος τῇ θυγατρὶ κατὰ χρησμὸν ἐμίγη, βασιλεὺς ἐθέλων καὶ Θυέστης ἐκδικηθῆναι. ἡμεῖς δὲ τοσοῦτον ἀδιάφοροι εἶναι ἀπέχομεν, ὡς μηδὲ ἰδεῖν ἡμῖν πρὸς ἐπιθυμίαν ἐξεῖναι. [1] ὁ γὰρ βλέπων, φησὶ, γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη μεμοίχευκεν ἐν τῇ καρδίᾳ αὐτοῦ. οἷς οὖν μηδὲν [2] τὸ πλέον ἔξεστιν ὁρᾶν, ἢ ἐφ᾽ ἃ ἔπλασεν τοὺς ὀφθαλμοὺς ὁ θεὸς, ἡμῖν φῶς αὐτοὺς εἶναι· καὶ οἷς τὸ ἰ-

1. Matt. 5. 28.
2. MS. deest τὸ,

δεῖν ἡδέως, μοιχεία, ἐφ' ἑτέρᾳ τῶν ὀφθαλμῶν γεγονότων, μέχρις ἐννοίας κριθησομένοις, πῶς ἂν οὗτοι ἀπιστηθεῖεν σωφρονεῖν; οὐ γὰρ πρὸς ἀνθρωπικοὺς νόμους ὁ λόγος ἡμῖν, οὓς ἄν τις γενόμενος πονηρὸς καὶ λάθοι· ἐν ἀρχῇ δὲ ὑμῖν, δεσπόται, θεοδίδακτον εἶναι τὸν καθ' ἡμᾶς λόγον ἐπιστοῦμεν. ἀλλ' ἔστιν ἡμῖν νόμος ὃς δικαιοσύνης μέτρον ἐποίησεν αὐτοὺς [1] καὶ τοὺς πέλας ἔχειν· διὰ τοῦτο καὶ καθ' ἡλικίαν, τοὺς μὲν υἱοὺς καὶ θυγατέρας νοοῦμεν, τοὺς δὲ ἀδελφοὺς ἔχομεν καὶ ἀδελφάς· καὶ τοῖς προβεβηκόσι τὴν τῶν πατέρων καὶ μητέρων τιμὴν ἀπονέμομεν. οὓς οὖν ἀδελφοὺς καὶ ἀδελφὰς καὶ τὰ λοιπὰ τοῦ γένους νοοῦμεν ὀνόματα, περὶ πολλοῦ ἡμῖν ἀνύβριστα καὶ ἀδιάφθορα αὐτῶν τὰ σώματα μένειν· πάλιν ἡμῖν λέγοντος τοῦ λόγου, ἐάν τις διὰ [2] τοῦτο ἐκ δευτέρου καταφιλήσῃ ὅτι ἤρεσεν αὐτῷ. καὶ ἐπιφέροντος· οὕτως οὖν ἀκριβώσασθαι τὸ φίλημα, μᾶλλον δὲ τὸ προσκύνημα δεῖ ὡς, εἴ που μικρὸν τῇ διανοίᾳ παραθολωθείη, ἔξω ἡμᾶς τῆς αἰωνίου τιθέντος ζωῆς. ἐλπίδα οὖν ζωῆς αἰωνίου ἔχον-

1. Lege πρὸς τοὺς ...
2. De repetito osculo vid. quæ habeat Xenoph. Cyr. Pæd. l. 1. c. 20.

τες,

ut corpori luceant: & quibus lasci-vius intueri, adulterii instar est, quum in alios usus oculos sibi factos, & se cogitationum quoque suarum reos futuros intelligant? Non enim cum humanis legibus nobis res est, quas etiam improbus aliquis effugerit. A Deo quidem disciplinam nostram esse traditam, Domini, ab initio asserui. Summa apud nos lex est, quæ justitiæ modum & exemplar in nobis ipsis requirit, à nobis ad proximum transfert. Quamobrem etiam pro ætatis discrimine, alios pro filiis & filiabus, alios pro fratribus & sororibus habemus: provectiores ætate patrum & matrum loco honoramus. Illorum igitur quos tanquam fratres & sorores, aut alio cognationis nomine conjunctos nobis ducimus, inviolata & integra manere corpora, maximi apud nos fit. Rursus quum religio nostra nos doceat, [sic ut vir quidam sanctus scripsit:] Si quis osculum suæ cupiditatis causa repetierit. Et mox, Summa igitur cautione communicandum est osculum, ut non aliter quam pia salutatio, vel potius adoratio quædam habeatur: quæ si vel parum impura cogitatione inquinata fuerit, à vita æterna nos alienet. Ergo spe vitæ æternæ freti, præ-

præſentem hanc ejuſque delicias, & ſenſuum etiam animæque [non puras] voluptates contemnimus. Itaque uxorem, quam ſecundum approbatas nobis leges ſibi quiſque duxerit, reputat, non in alium quam in procreandæ ſobolis finem. Quemadmodum enim agricola, poſtquam ſemina terræ mandavit, meſſis tempus expectat, nec alia ſuperinjicit: ſic nobis etiam concupiſcentiæ modus liberorum procreatione definitur. Invenias autem multos ex noſtris in utroque ſexu, qui cælibatu conſeneſcant: quod in hoc ſtatu Deo conjunctiores ſe futuros ſperent. Quod ſi virginum & illorum qui [ultro] eunuchi ſunt, vita, Deo magis conciliat: concupiſcentia vero & impurior cogitatio [quamvis non erumpens] abducit: certe illa quæ cogitare non ſuſtinemus, multo prius magiſque, ne ipſo perpetremus facinore, cavebimus. Non enim in meditatione ſermonis, & ſtructura verborum, ſed in rebus opere declarandis, tanquam doctrina viva, profeſſio noſtra poſita eſt. Quare vel ut natus eſt unuſquiſq; noſtrum manet, vel nuptiis copulatur unicis: ſecundæ enim, decorum quoddam adulterium ſunt. Qui enim uxorem

ſuam

τις, τῆς ἐν τούτῳ τῷ βίῳ καταφρονοῦμεν, μέχρι καὶ τοῦ τῆς ψυχῆς ἡδέων. γυναῖκα μὲν ἕκαστος ἡμῶν, ἣν ἠγάγετο τοὺς ὑφ᾽ ἡμῶν τεθειμένους νόμους, νομίζων, καὶ ταύτην μέχρι [1] τοῦ παιδοποιήσασθαι. ὡς γὰρ ὁ γεωργὸς καταβαλὼν εἰς γῆν τὰ σπέρματα, ἄμητον περιμένει, οὐκ ἐπισπείρων· καὶ ἡμῖν μέτρον ἐπιθυμίας ἡ παιδοποιΐα. εὕροις δ᾽ ἂν πολλοὺς τῶν παρ᾽ ἡμῖν, καὶ ἄνδρας καὶ γυναῖκας, καταγηράσκοντας ἀγάμους, ἐλπίδι τοῦ μᾶλλον συνέσεσθαι θεῷ. εἰ δὲ τὸ ἐν παρθενίᾳ καὶ ἐν εὐνουχίᾳ μεῖναι, μᾶλλον παρίστησι τῷ θεῷ· τὸ δὲ μέχρις ἐννοίας καὶ ἐπιθυμίας ἐλθεῖν, ἀπάγει· ὧν τὰς ἐννοίας φεύγομεν, πολὺ πρότερον τὰ ἔργα παραιτούμεθα. οὐ γὰρ ἐν μελέτῃ λόγων, ἀλλ᾽ ἐπιδείξει καὶ διδασκαλίᾳ ἔργων τὰ ἡμέτερα· ἢ οἷος τις ἐτέχθη, μένειν, ἢ ἐφ᾽ ἑνὶ γάμῳ. ὁ γὰρ δεύτερος, εὐπρεπής ἐστι μοιχεία. [2] ὃς γὰρ ἂν ἀπολύσῃ,

---

1. Matrimonium institutum est non modo ad procreandos liberos, sed etiam ad vitandam fornicationem; uti liquet ex 1 Cor. 7. 2, & 9. Quod igitur de secundis nuptiis infra dictum est, proprius ad Tatiani hæresin accedit, quam ad Christi doctrinam.

2. Matt. 5. 32.

φησί,

φησὶ, τὴν γυναῖκα αὐτοῦ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται· οὔτε ἀπολύειν ἐπιτρέπων ἧς ἔπαυσέ τις τὴν παρθενίαν, οὔτε ἐπιγαμεῖν. ὁ γὰρ ἀποστερῶν ἑαυτὸν τῆς προτέρας γυναικὸς, καὶ εἰ τέθνηκε, μοιχός ἐστι παρακεκαλυμμένος, παραβαίνων μὲν [1] τὴν χεῖρα τοῦ θεοῦ, ὅτι ἐν ἀρχῇ ὁ θεὸς ἕνα ἄνδρα ἔπλασε καὶ μίαν γυναῖκα· λύων δὲ τὴν σάρκα πρὸς σάρκα κατὰ τὴν ἕνωσιν πρὸς μίξιν [2] τοῦ γένους κοινωνίαν. ἀλλ' οἱ τοιοῦτοι (ὦ τί ἂν εἴποιμι τὰ ἀπόῤῥητα;) ἀκούομεν τὰ τῆς παροιμίας, ἡ πόρνη τὴν σώφρονα. οἱ γὰρ ἀγορὰν στήσαντες πορνείας, καὶ καταγωγὰς ἀθέσμους πεποιημένοι τοῖς νέοις πάσης αἰσχρᾶς ἡδονῆς, καὶ μηδὲ τῶν ἀρσένων φειδόμενοι· [3] ἄρσενες ἐν ἄρσεσι τὰ δεινὰ κατεργαζόμενοι. ὅσων σεμνότερα καὶ εὐειδέστερα σώματα, παντοίως αὐτὰ ὑβρίζοντες· ἀτιμοῦντες καὶ τὸ ποιητὸν τοῦ θεοῦ καλόν. (οὐ γὰρ αὐτοποίητον ἐπὶ γῆς τὸ κάλλος, ἀλλὰ ὑπὸ χειρὸς καὶ γνώμης πεμπόμενον τοῦ θεοῦ) οὗτοι δὲ ἃ συνίσασιν αὐτοῖς καὶ τοὺς σφετέροις λέγουσι θεοὺς, ἐπ' αὐτῶν, ὡς σεμνὰ, καὶ

1. Hoc est, τὴν πλάσιν, ἢ κτίσιν θεοῦ.
2. Forte καὶ γένους.
3. Rom. 1. 27.

τῶν

ſuam dimiſerit, & duxerit alteram, adulteratur, inquit [Dominus noſter:] neque illám dimittere concedens cujus delibata eſt pudicitia, neque alterám ducere. Nam qui prima uxore, licet defuncta, ſeipſum privat, adulter eſt, quanquam diſſimulanter: & manum Dei tranſgreditur: quoniam à principio Deus virum unum & mulierem unam creavit: & carnem à carne, & unionem miſcendi utriuſque ſexus ſeparat. Ceterum tales quum ſimus, (quid dico tacenda?) non deſunt qui hæc crimina nobis objiciant, & ut proverbio dicitur, Meretrix pudicam: nam qui libidinis mercenariæ ceu forum ſtatuunt, & diverſoria nefanda omnis obſcenæ voluptatis adoleſcentibus proponunt, & ne maribus quidem abſtinent: maſculi cum maſculis ſcelus perpetrantes: corpora quæque ſpecioſa multis violantes modis: in pulcritudinem à Deo factam contumelioſi. Neque enim pulcritudo ullius in terra rei per ſe exoritur, ſed manu & voluntate Dei immittitur. Illi inquam facinorum de quibus ipſi ſibi conſcii ſunt, quæque in ſuos etiam deos referunt, deque ipſis eadem tanquam præclara prædicant, nos accuſant. Itaque adulteri

adulteri & puerorum corruptores, in eunuchos & ſemel nuptos nos invehuntur; quum ipſi piſcium inſtar vivant. Nam & piſces obvium quemq; devorant, & qui inter eos validior fuerit, imbecilliorem perſequitur. Hoc nempe eſt [quod nobis objicitur ab illis] carnibus humanis veſci, quum præter leges, quas vos & majores veſtri rebus omnibus juſtiſſime perpenſis, ſanciviſtis, innocentium fama violatur, tanta quidem calumniatorum frequentia, ut Próconſules & Præfecti à vobis in diverſas provincias miſſi, cauſis audiendis non ſufficiant: traducitur inquam fama illorum, quibus quum verberantur, non licet non præbere ſeipſos, & quum maledicuntur, non benedicere non licet. Neque enim illis juſtis eſſe ſatis eſt (quum talionem, & par pari referri juſtitia poſtulet) ſed bonitatem & patientiam inſuper ſibi proponunt. Quis igitur non amens, in hoc vivendi inſtituto, nos homicidas appellet? Non enim carnes guſtare hominum licet, antequam cæſus aliquis fuerit. Quemadmodum autem primum ab eis falſo dicitur: ita ſecundum quoque mendacium eſt. Jam ſiquis ab eis rogitet an viderint

τῶν θεῶν αὐτὰ αἰσχύνοντες· ταῦτα ἡμᾶς λοιδοροῦνται· κακίζοντες οἱ μοιχοὶ καὶ παιδεραστοὶ τοὺς εὐνούχους, καὶ μονογάμους, οἱ[1] δίκην ἰχθύων ζῶντες. καὶ γὰρ οὗτοι καταπίνουσι τὸν ἐμπεσόντα, ἐλαύνοντες ὁ ἰσχυρότερος τὸν ἀσθενέστερον. καὶ τοῦτό ἐστι σαρκῶν ἅπτεσθαι ἀνθρωπικῶν, τὸ κειμένων νόμων, οὓς ὑμεῖς καὶ οἱ ὑμέτεροι πρόγονοι πρὸς πᾶσαν δικαιοσύνην ἐξετάσαντες ἐθήκατε, παρὰ τούτους αὐτοὺς βιάζεσθαι, ὡς μηδὲ τοὺς ὑφ' ὑμῶν κατεπεμπομένους ἡγεμόνας τῶν ἐθνῶν ἐξαρκεῖν ταῖς δίκαις, οἷς οὐδὲ παιομένοις μὴ παρέχειν ἑαυτοὺς, οὐδὲ κακῶς ἀκούουσι μὴ εὐλογεῖν ἔξεστιν. οὐ γὰρ ἀπαρκεῖ δίκαιον εἶναι (ἔστι δὲ δικαιοσύνη, ἴσα ἴσοις ἀμείβειν) ἀλλ' ἀγαθοῖς καὶ ἀνεξικάκοις εἶναι πρόκειται. τίς οὖν εὖ φρονῶν εἴποι, τοιούτους ὄντας ἡμᾶς, ἀνδροφόνους εἶναι; οὐ γάρ ἐστι πάσασθαι κρεῶν ἀνθρωπικῶν, μὴ πρότερον ἀποκτείνασί τινα. τὸ πρότερον οὖν ψευδόμενοι· τὸ δεύτερον[2]. κἂν μέν

1. Vide Hesiodum lib. 1. Oper. carm. 275.
2. Gesnerus addit ψεύδονται.

O τις

τίς αὐτοὺς ἔρηται, εἰ ἑωράκασιν ἃ λέγουσιν, οὐδεὶς οὕτως ἀπηρυθριασμένος, ὡς εἰπεῖν ἰδεῖν. καί τοι καὶ δοῦλοί εἰσιν ἡμῖν, τοῖς μὲν καὶ πλείους, τοῖς δὲ ἐλάττους· οὓς οὐκ ἔστι λαθεῖν· ἀλλὰ καὶ τούτων οὐδεὶς καθ' ἡμῶν τὰ τηλικαῦτα οὐδὲ κατεψεύσατο. οὓς γὰρ ἴσασιν οὐδ' ἰδεῖν κἂν δικαίως φονευόμενον ὑπομένοντας, τούτων τίς ἂν κατείποι ἢ ἀνδροφονίαν, ἢ ἀνθρωποβορείαν; τίς οὐχὶ [1] τῶν περὶ σπουδῆς τὰς δι' ὅπλων ἀγωνίας καὶ διὰ θηρείων, καὶ μάλιστα τὰς ὑφ' ὑμῶν ἀγομένας, ἔχει; ἀλλ' ἡμεῖς πλησίον εἶναι τὸ ἰδεῖν τὸ φονευόμενον τοῦ ἀποκτεῖναι, νομίζοντες, ἀπηγορεύσαμεν τὰς τοιαύτας θέας. πῶς οὖν μηδὲ ὁρῶντες, ἵνα μὴ ἑαυτοῖς ἄγος καὶ μίασμα περιαψαίμεθα, φονεύειν δυνάμεθα; καὶ οἳ τὰς τοῖς ἀμβλωθριδίοις χρωμένας, ἀνδροφονεῖν τε καὶ λόγον ὑφέξειν τῆς ἐξαμβλώσεως τῷ θεῷ φαμέν,

1. Idem valet τῶν περὶ σπουδῆς ac τῶν περισπουδάστων.

κατ

derint ipsi quæ dicunt, nullus tum adeo impudenter mendax est, ut se vidisse fateatur. Atqui & servos aliqui nostrum possident, alii plures, alii pauciores: quos ea quæ facimus latere non possunt. Verum ne ex illis quidem ullus adversum nos tale quicquam vel mentitus est. Quomodo enim quisquam vel homicidii vel humanarum carnium epulationis insimularet illos, quos ne juste quidem occidendi hominis supplicium intueri velle aut posse cognoverit? Quis non spectacula illa, in quibus gladiatores & belluas populo, præsertim vos imperatores exhibetis, maximi facit? Nos vero non ita multum, sive spectator sit aliquis, sive auctor cædis, interesse judicantes, alieno ab his spectaculis animo sumus. Quomodo igitur qui ne ab aliis quidem fieri, ne quid inde sceleris & piaculi in nos redundet, videre sustinemus, homicidium committemus ipsi? Et qui mulieres medicamentis abortivis utentes, homines occidere, & rationem reddituras Deo dicimus: qua ratione [jam natos & perfectos] homines nos jugulabimus? Non enim ejusdem est, fœtum in utero, animal esse, ideoque curam

ejus à Deo suscipi existimare: & postquam in lucem editus est, interficere: ut neque, non exponere infantem, tanquam omnes qui exponunt parricidæ [aut si ita dicere licet, infanticidæ] sint: jam vero educatum occidere. Atqui per omnia nobis constamus, & consentanea rationi ubique facimus: à qua leges accipimus, non ipsi præscribimus. Quis obsecro futuram resurrectionem persuasus, corporibus resurrecturis seipsum præbeat sepulcrum? Non enim ad eosdem pertinet, & resurrectura corpora nostra non dubitare, & iisdem ceu non resurrecturis vesci: & terram quos acceperit mortuos reddituram, a se vero quos intra se aliquis sepeliverit, ne repetendos quidem existimare. Imo contra longe credibilius est, illos qui præsentis hujus sive probæ sive improbæ vitæ nunquam sibi rationem reddendam, nec ullam fore resurrectionem, sed animam cum corpore simul interituram, veluti in eo extinguendam putaverint, nullum non facinus ausuros: eos vero qui in omnia & singula inquisitionem à Deo futuram, & corpus quod temerariis animæ motibus libidinibusque inservivit,

κατὰ ποῖον ἀνδροφονοῦμεν λόγον; οὐ γὰρ τοῦ αὐτοῦ, νομίζειν μὲν καὶ τὸ κατὰ γαστρὸς ζῶον εἶναι, καὶ διὰ τοῦτο αὐτοῦ μέλλειν τῷ θεῷ, καὶ παρεληλυθότα εἰς τὸν βίον, φονεύειν· καὶ μὴ ἐκτιθέναι μὲν τὸ γεννηθέν, ὡς τῶν ἐκτιθέντων τεκνοκτονούντων, πάλιν δὲ τὸ τραφὲν ἀναιρεῖν· ἀλλ' ἐσμὲν πάντα πανταχοῦ ὅμοιοι καὶ ἴσοι, δουλεύοντες τῷ λόγῳ, καὶ οὐκ ἄρχοντες αὐτοῦ. τίς ἂν οὖν ἀνάστασιν πεπιστευκὼς, ἐπὶ σώμασιν ἀναστησομένοις ἑαυτὸν παράσχοι τάφον; οὐ γὰρ τοῦ αὐτοῦ, καὶ ἀναστήσεσθαι ἡμῶν πεπεῖσθαι τὰ σώματα, καὶ ἐσθίειν αὐτὰ ὡς οὐκ ἀναστησόμενα· καὶ ἀποδώσειν μὲν νομίζειν τὴν γῆν τοὺς ἰδίους νεκροὺς, οὓς δέ τις αὐτὸς ἐγκατέθαψεν αὐτῷ, μήτε ἀπαιτηθήσεσθαι. τοὐναντίον μὲν οὖν εἰκὸς, τοὺς μὲν μήτε λόγον ὑφέξειν τοῦ ἐνταῦθα ἢ πονηροῦ ἢ χρηστοῦ βίου, μήτε ἀνάστασιν εἶναι οἰομένους, συναπόλλυσθαι δὲ σώματι καὶ τὴν ψυχὴν, καὶ οἷον ἐναποσβέννυσθαι λογιζομένους, μηδενὸς ἂν ἀποσχέσθαι τολμήματος· τοὺς δὲ μηδὲν ἀνεξέταστον ἔσεσθαι παρὰ τῷ θεῷ, συγκολασθήσεσθαι δὲ καὶ τῷ ὑπουργῆσαν σῶμα ταῖς ἀλόγοις ὁρμαῖς τῆς ψυχῆς καὶ ἐπιθυμίαις, πε-

πεισμένους, οὐδεὶς λόγος ἔχει οὐδὲ τῶν βραχυτάτων τι ἁμαρτεῖν. εἰ δέ τῳ λῆρος πολὺς δοκεῖ, τὸ σαπὲν καὶ διαλυθὲν καὶ ἀφανισθὲν σῶμα συστῆναι πάλιν, κακίας μὲν οὐκ ἂν εἰκότως δόξαν ἀποφεροίμεθα διὰ τοὺς οὐ πιστεύοντας, ἀλλ' εὐηθείας. οἷς γὰρ ἀπατῶμεν ἑαυτοὺς λόγοις, ἀδικοῦμεν οὐδένα. ὅτι μέντοι οὐ καθ' ἡμᾶς μόνον ἀναστήσεται τὰ σώματα, ἀλλὰ καὶ κατὰ πολλοὺς τῶν φιλοσόφων, περίεργον ἐπὶ τοῦ παρόντος δεικνύειν, ἵνα μὴ ἐξαγωνίους τοῖς προκειμένοις ἐπεισάγειν δοκῶμεν λόγους. [1] ἢ περὶ νοητῶν καὶ αἰσθητῶν, καὶ τῆς τούτων συστάσεως λέγοντες· ἢ ὅτι πρεσβύτερα τὰ ἀσώματα τῶν σωμάτων, καὶ τὰ νοητὰ προάγει τῶν αἰσθητῶν· κἂν πρώτοις περιπίπτωμεν τοῖς αἰσθητοῖς, συνισταμένων ἐκ μὲν τῶν ἀσωμάτων, κατὰ τὴν ἐπισύνθεσιν τῶν νοητῶν σω-

1. Gesnerus legit οἱ, præcedente commate, ut sit una periodus usque ad ἐκ τῶν νοητῶν.

μάτων

ſervivit, communes ei pœnas luiturum crediderint, vel in minimis delinquere nequaquam conſentaneum eſt. Quod ſi cui frivola & ſtolida hæc ſententia videtur, putrefactum, ſolutum, & plane abolitum corpus, denuo coagmentatum iri, non improbitati tamen, quod nos credimus, ipſe deridet, ſed ſimplicitati noſtræ imputari ab eo æquum fuerit. Ut enim opinione hac nos ipſos decipiamus, cui per eam nocemus? Reſurrecturos quidem mortuos, non noſtra tantum aut nova perſuaſio eſt, ſed philoſophis etiam multis approbata: quod in præſentia ſi demonſtrarem, extra orationis meæ propoſitum evagari forte viderer. [Quamobrem pauciſſimis attingam.] Qui de rebus intellectilibus & ſenſilibus, earumque conſtitutione aliquid prodiderunt [philoſophi] corpora ſubtiliſſima & intellectu tantum percipienda, priora antiquioraque illis faciunt quæ ſenſu percipiuntur: etiamſi cognitioni noſtræ ſenſilia primum occurrant [atque ab illis diſcendi plerumque initium fiat, ordine naturæ converſo:] hæc autem (ſenſilia inquam) ex primis & ſubtiliſſimis [quæ, craſſiorum & ſenſilium comparatione,

comparatione, incorporea dixeris) invicem coagmentatis conſtitui aiunt. Ex principiis igitur & elementis illis intellectilibus, unde ab initio concreta ſunt corpora, ut & Pythagoras & Plato ſentiunt, rurſus poſtquam diſſoluta fuerint, coaleſcere & conſtitui denuo quidnam prohibet? Verum hæc de reſurrectione diſceptatio differatur. Vos vero, ô undiquaque in omnibus natura ſimul & diſciplina boni, moderati, benigni, & imperio digni Principes, mihi (obſecro) qui crimina nobis objecta diſſolvi, & inſuper nos eſſe pios erga Deum, vita & moribus honeſtos, animo ſobrios ac temperantes oſtendi, capitibus regiis annuite. Ecqui enim conſequentur æquius ea quæ petunt, quam nos adeo vobis devoti addictique? Nos enim pro imperio veſtro preces ad Deum fundimus, & ut filius (quod juſtiſſimum eſt) in regno olim parenti ſuccedat, utque imperium veſtrum magis magiſque ſemper augeatur, denique omnia ex animi ſententia vobis eveniant, oramus, quod & nobis ſalutare fuerit, ut quietam tranquillamque vitam degentes, vobis interim ad quælibet imperata promte inſerviamus.

ΑΘΗΝΑ-

μάτων· [1] ἐκ δὲ τῶν νοητῶν. οὐ γὰρ κωλύει, κατὰ τὸν Πυθαγόραν καὶ τὸν [2] Πλάτωνα, γινομένης τῆς διαλύσεως τῶν σωμάτων, ἐξ ὧν τὴν ἀρχὴν συνέστη, ἀπὸ τῶν αὐτῶν αὐτὰ καὶ πάλιν συστῆναι. ἀλλ᾽ ἀνακείσθω μὲν ὁ περὶ τῆς ἀναστάσεως λόγος. ὑμεῖς δὲ, ὦ πάντα ἐν πᾶσι φύσει καὶ παιδείᾳ χρηστοὶ καὶ μέτριοι καὶ φιλάνθρωποι, καὶ τῆς βασιλείας ἄξιοι, διαλελυμένῳ μὲν τὰ ἐγκλήματα, ἐπιδεδειχόσι δὲ ὅτι καὶ θεοσεβεῖς καὶ ἐπιεικεῖς καὶ τὰς ψυχὰς κεκολασμένοι, τὴν βασιλικὴν κεφαλὴν ἐπινεύσατε. τίνες γὰρ καὶ δικαιότεροι ὧν δέονται τυχεῖν, ἢ οἵτινες περὶ μὲν τῆς ἀρχῆς τῆς ὑμετέρας εὐχόμεθα, ἵνα παῖς μὲν παρὰ πατρὸς κατὰ τὸ δικαιότατον [3] διαδέχησθε τὴν βασιλείαν, αὔξησιν δὲ καὶ ἐπίδοσιν ἡ ἀρχὴ ὑμῶν, πάντων ἐπιχειρίων γιγνομένων, λαμβάνῃ; τοῦτο δ᾽ ἐστὶ καὶ πρὸς [4] ὑμῶν, ὅπως ἤρεμον καὶ ἡσύχιον βίον διάγοιμεν, αὐτοὶ δὲ πάντα τὰ κεκελευσμένα προθύμως ὑπηρετοῖμεν.

---

1. Legit Geſnerus ἐκ δὲ τῶν νοητῶν οὐδὲν κωλύει, &c.
2. De Platonis ſententia vide Euſeb. de Præp. Evang. 11. 18.
3. Lege διαδέχησθε.
4. MB. ἡμῶν.

ΑΘΗΝΑ-

ΑΘΗΝΑΓΟΡΟΥ

ΑΘΗΝΑΙΟΥ ΦΙΛΟΣΟΦΟΥ

ΧΡΙΣΤΙΑΝΟΥ,

περὶ ἀναστάσεως τῶν νεκρῶν.

ATHENAGORÆ

ATHENIENSIS PHILOS.

CHRISTIANI,

De Resurrectione Mortuorum.

ΑΘΗΝΑΓΟΡΟΥ

ΑΘΗΝΑΙΟΥ ΦΙΛΟΣΟΦΟΥ

ΧΡΙΣΤΙΑΝΟΥ,

περὶ ἀναστάσεως τῶν νεκρῶν.

ΠΑντὶ δόγματι καὶ λόγῳ τῆς ἐν τούτοις ἀληθείας ἐχομένῳ παραφύεταί τι ψεῦδος· παραφύεται δὲ οὐκ ἐξ ὑποκειμένης τινὸς ἀρχῆς κατὰ φύσιν ὁρμώμενον ἢ τῆς κατ' αὐτὸ ὅπερ ἐστὶν ἕκαστον αἰτίας, ἀλλ' ὑπὸ τῶν τὴν ἔκθεσμον σπορὰν ἐπὶ διαφθορᾷ τῆς ἀληθείας τετιμηκότων σπουδαζόμενον. τοῦτο δέ ἐστιν εὑρεῖν, πρῶτον μὲν ἐκ τῶν πάλαι ταῖς περὶ τούτων φροντίσιν ἐσχολακότων, καὶ τῆς ἐκείνων πρός τε τοὺς ἑαυτῶν πρεσβυτέροις καὶ τοὺς ὁμοχρόνοις γινομένης διαφορᾶς· οὐχ ἥκιστα δὲ ἐξ αὐτῆς τῆς τῶν ἐν μέσῳ στρεφομένων ταραχῆς. οὐδὲν γὰρ τῶν ἀληθῶν οἱ τοιοῦτοι κατέλιπον ἀσυκοφάντητον, οὐ τὴν οὐσίαν τοῦ θεοῦ, οὐ τὴν

ATHENAGORÆ

Atheniensis Philos. CHRISTIANI,

De mortuorum Resurrectione.

Omnibus dogmatibus & rationibus quæ ab harum rerum veritate pendent & fulciuntur, aliquid falsi adnascitur & cohærescit. Adnascitur autem, non ex origine & naturali ductu rerum, aut ex caussis substantiæ, sed ex studio eorum qui adulterinam sementem ad corrumpendam veritatem in pretio & veneratione habent. Id ita esse deprehendas ex veterum lucubrationibus, qui huic curæ operam impenderunt, dum pariter & cum prioris & cum sui seculi hominibus dissident: imprimis autem ex ea quæ inter ipsos opinionum tumultuatio est. Nullam enim istiusmodi homines veritatem sine obtrectatione dimiserunt, non substantiam Dei, non

cognitionem, non operationem, aut ea quæ iſtas res per ſeriem conſequuntur: imo nec pietatis depictricem orationem. Nam aliqui eorum plane deſperant de iſtarum rerum veritate: alii pro libidine torquent: alii de manifeſtis dubitationem inſtituunt. Quamobrem puto eum qui de iſtis rebus diſputaturus ſit, duplici oratione opus habere, altera nimirum quæ pro veritate, altera quæ de veritate diſceptet: priore oratione adverſus incredulos & dubitantes, ſecunda adverſus benevolos & veritatis ſtudioſos utendum exiſtimo. Qua de cauſa oportet eos qui hiſce de rebus quæſtionem inſtituere volunt, ſubinde inſpicere quid res exigat, & eatenus verba metiri, earumque rerum ordinem neceſſitati adaptare: ut non, dum prima quæque pro ſerie priori loco conſtituas, decorum violes, & neceſſitatis & congruitatis reſpectum deſeras. Ut enim ad demonſtrationem & naturale conſequium, priora ſunt ea quæ de rebus, quam quæ pro rebus diſputantur: ita quando ad utilitatem referuntur, priore loco ponenda ea quæ pro rebus, quam quæ de rebus diſceptant. Neque enim agricola apte poteſt inſpergere ſemen,

γνῶσιν, οὐ τὴν ἐνέργειαν, οὐ τὰ τούτοις ἐφεξῆς καθ' εἱρμὸν ἑπόμενα, καὶ τὸν τῆς εὐσεβείας ἡμῖν ἀπογράφοντα λόγον· ἀλλ' οἱ μὲν πάντη καὶ καθάπαξ ἀπογινώσκουσι τὴν περὶ τούτων ἀλήθειαν· οἱ δὲ πρὸς τὸ δοκοῦν αὐτοῖς διαστρέφουσιν· οἱ δὲ καὶ περὶ τὰ ἐμφανῆ ἀπορεῖν ἐπιτηδεύουσιν. ὅθεν οἶμαι δεῖν τοῖς περὶ ταῦτα πονουμένοις λόγων διττῶν, τὸν μὲν, ὑπὲρ τῆς ἀληθείας, τὸν δὲ, περὶ τῆς ἀληθείας· καὶ τὸν μὲν ὑπὲρ τῆς ἀληθείας, πρὸς τοὺς ἀπιστοῦντας, ἢ τοὺς ἀμφιβάλλοντας· τὸν δὲ περὶ τῆς ἀληθείας, πρὸς τοὺς εὐγνωμονοῦντας καὶ μετ' εὐνοίας δεχομένους τὴν ἀλήθειαν. ὧν ἕνεκεν χρὴ τοὺς περὶ τούτων ἐξετάζειν ἐθέλοντας, τὴν ἑκάστοτε προκειμένην χρείαν σκοπεῖν, καὶ ταύτῃ τοὺς λόγους μετρεῖν· τήν τε περὶ τούτων τάξιν μεθαρμόζειν πρὸς τὸ δέον, καὶ μὴ τῷ δοκεῖν τὴν αὐτὴν πάντοτε φυλάττειν ἀρχὴν, ἀμελεῖν τοῦ προσήκοντος καὶ τῆς ἐπιβαλλούσης ἑκάστῳ χώρας. ὡς μὲν γὰρ πρὸς ἀπόδειξιν καὶ τὴν φυσικὴν ἀκολουθίαν, πάντοτε πρωτοστατοῦσιν οἱ περὶ αὐτῆς λόγοι τῶν ὑπὲρ αὐτῆς· ὡς δὲ πρὸς τὸ χρειωδέστερον, ἀνεστραμμένως οἱ ὑπὲρ αὐτῆς, τῶν περὶ αὐτῆς. οὔτε γὰρ γεωργὸς δύναιτ' ἂν

προσηκόντως καταβάλλειν τῇ γῇ τὰ σπέρματα, μὴ προεξελὼν τὰ τῆς ἀγρίας ὕλης, καὶ τοῖς καταβαλλομένοις ἡμέροις σπέρμασι λυμαινόμενα· οὔτε ἰατρὸς ἐνεῖναί τι τῶν ὑγιεινῶν φαρμάκων τῷ δεομένῳ θεραπείας σώματι, μὴ τὴν ἐνοῦσαν κακίαν προκαθάρας, ἢ τὴν ἐπιῤῥέουσαν ἐπισχών. οὔτε μὴν ὁ τὴν ἀλήθειαν ἐθέλων διδάσκειν, περὶ τῆς ἀληθείας λέγων, πεῖσαι δύναιτ' ἄν τινα, ψευδοδοξίας τινὸς ὑποικουρούσης τῇ τῶν ἀκουόντων διανοίᾳ, καὶ τοῖς λόγοις ἀντιστατούσης. διὸ πρὸς τὸ χρειωδέστερον ἀφορῶντες καὶ ἡμεῖς, προτάσσομεν ἔσθ' ὅτε τοὺς ὑπὲρ τῆς ἀληθείας λόγους τῶν περὶ τῆς ἀληθείας. κατὰ τὸν αὐτὸν δὲ τρόπον ποιῆσαι καὶ νῦν ἐπὶ τῶν τῆς ἀναστάσεως λόγων οὐκ ἄχρειον φαίνεται, σκοποῦσι τὸ δέον. καὶ γὰρ ἐν τούτοις εὑρίσκομεν τοὺς μὲν ἀπιστοῦντας πάντῃ τινὰς καὶ ἀμφιβάλλοντας, καὶ τῶν γε τὰς πρώτας ὑποθέσεις δεξαμένων τινὰς, ἐπίσης τοῖς ἀμφιβάλλουσιν ἀποροῦντας· τὸ δὲ πάντων παραλογώτατον, ὅτι ταῦτα πάσχουσιν, οὐδ' ἡντιναοῦν ἔχοντες ἐκ τῶν πραγμάτων ἀπιστίας ἀφορμὴν, οὐδ' αἰτίαν εὑρίσκοντες εἰπεῖν εὔλογον, δι' ἣν ἀπιστοῦσιν ἢ διαποροῦσιν. σκοπῶμεν δὲ οὕτως·

τως·

semen, nisi purgato agro à silvestri materia, eisque quæ sementibus bonis noxam adferunt: neque medicus infundere salutare pharmacum ægroto corpori, nisi vitiosa prius expurgarit, aut affluentem purulentiam cohibuerit: neque qui veritatem docet, de veritate loquens persuadere potest, dum adhuc in animis inhabitat falsa opinio, quæ ipsis veri rationibus obsistit. Quamobrem & nos quoque, cura & respectu utilitatis, nonnunquam prius pro veritate quam de veritate sermonem instituimus. Id quod impræsentiarum non inutile facti videtur, dum quod necessitas exigat, ante oculos habemus, præcipue in oratione quæ de resurrectione corporum disputatura est. Nam & hic quoque quosdam videmus plane incredulos, quosdam dubitabundos, alios quoque qui primas suppositiones & statumina quæstionis admittunt, æque tamen cum illis qui dubitabundi sunt, animo incerto & ambiguo fluctuare: deinde, quod omnium est absurdissimum, patiuntur istam animi fluctuationem sine ulla quam ex rebus ipsis derivare possunt, dubitandi occasione. Nullam enim causam allegare pos-

ſunt ſaltem veriſimilem, cur aut dubitent, aut hæſitent. Id ita eſſe, hoc pacto conſideres. Siquidem omnis credendi difficultas non temere ex futili nulliuſque judicii opinione naſcitur, ſed ex valida cauſa & veriſimilitudine plurimum munita. Tum enim incredulitas rationem juſtam habet, quum ipſa res, de qua non creditur, quiddam incredibile continet. Nam rebus quæ dubitandi cauſam non habent, non credere, eorum hominum eſt qui ſano judicio in diſcutienda veritate minime utuntur. Decet igitur qui reſurrectionem non credunt, aut ambigunt, non ad id quod ipſis temere apparet, aut quod nepotibus & luxurioſis opinari gratum eſt, ſententiam ſuam dirigere; ſed in excutienda contemplandaque hujus dogmatis veritate, aut nullam cauſam aſſignare hominum creationi (quod facillimum refutatu eſt) aut omnia creata Deo auctori imputare, atque inde edocere reſurrectionem ipſam nulla ex parte fidem mereri. Atqui illud facient, ſi oſtendent Deo aut voluntatem aut facultatem reſtituendi mortui diſſolutique corporis deeſſe, ut illud rurſus conſolidet & couniat, ad hominis

πως· εἰ πᾶσα ἀπιστία μὴ προχείρως καὶ κατά τινα δόξαν ἄκριτον ἐγγινομένη τισὶν, ἀλλὰ μετά τινος αἰτίας ἰσχυρᾶς καὶ τῆς κατὰ τὴν ἀλήθειαν ἀσφαλείας. τότε γὰρ τὸν εἰκότα σώζει λόγον, ὅταν αὐτὸ τὸ πρᾶγμα περὶ οὗ ἀπιστοῦσιν, ἄπιστον εἶναι δοκῇ. τὸ γάρ τοι τοῖς οὐκ οὖσιν ἀπίστοις ἀπιστεῖν, ἀνθρώπων ἔργον οὐχ ὑγιαινούσῃ κρίσει περὶ τὴν ἀλήθειαν χρωμένων· οὐκοῦν χρὴ καὶ τοὺς περὶ τῆς ἀναστάσεως ἀπιστοῦντας ἢ διαποροῦντας, μὴ πρὸς τὸ δοκοῦν αὐτοῖς ἀκρίτως, καὶ τὸ [1] τοῖς ἀκολάστοις κεχαρισμένον, τὴν περὶ ταύτης ἐκφέρειν γνώμην· ἀλλ' ἢ μηδεμιᾶς αἰτίας ἐξάπτειν τὴν τῶν ἀνθρώπων γένεσιν (ὃ δὴ καὶ λίαν ἐστὶν εὐεξέλεγκτον) ἢ τῷ θεῷ τὴν τῶν ὄντων ἀναπθέντας αἰτίαν, εἰς τὴν τοῦδε τοῦ δόγματος ἀποβλέπειν ὑπόθεσιν, καὶ διὰ ταύτης δεικνῦναι τὴν ἀνάστασιν οὐδαμόθεν ἔχουσαν τὸ πιστόν. τοῦτο δὲ ποιήσουσιν ἐὰν δεῖξαι δυνηθῶσιν, ἢ ἀδύνατον ὂν τῷ θεῷ ἢ ἀβούλητον, τὰ νεκρωθέντα τῶν σωμάτων, ἢ καὶ πάντη διαλυθέντα, πάλιν ἑνῶσαι καὶ συναγαγεῖν πρὸς

1. Infra, τοῖς ἀκολάστοις καὶ λάγνοις φίλον, φάσκομεν &c.

τοῦ

τῆς τῶν αὐτῶν ἀνθρώπων σύστασιν. ἐὰν δὲ τοῦτο μὴ δύνωνται, παυσάσθωσαν τῆς ἀθέου ταύτης ἀπιστίας, καὶ τοῦ βλασφημεῖν ἃ μὴ θέμις. ὅτι γὰρ οὔτε τὸ ἀδύνατον λέγοντες ἀληθεύουσιν, οὔτε τὸ ἀβούλητον, ἐκ τῶν ῥηθησομένων γενήσεται φανερόν. τὸ ἀδύνατόν τινι γιγνώσκεται κατ' ἀλήθειαν τοιοῦτον, ἢ ἐκ τοῦ μὴ γιγνώσκειν τὸ γενησόμενον, ἢ ἐκ τοῦ δύναμιν ἀρκοῦσαν μὴ ἔχειν πρὸς τὸ ποιῆσαι καλῶς τὸ ἐγνωσμένον. ὁ γὰρ ἀγνοῶν τι τῶν γενέσθαι δεόντων, οὐκ ἂν οὔτ' ἐγχειρῆσαι, οὔτε ποιῆσαι τὸ παράπαν δυνηθείη ὅπερ ἀγνοεῖ· ὅ, τε γινώσκων καλῶς τὸ ποιηθησόμενον, καὶ πόθεν γένοιτ' ἄν, καὶ πῶς, δύναμιν δὲ ἢ μηδ' ὅλως ἔχων πρὸς τὸ ποιῆσαι τὸ γινωσκόμενον, ἢ μὴ ἀρκοῦσαν ἔχων· οὐκ ἂν ἐγχειρήσειε τὴν ἀρχὴν, εἰ σωφρονοίη, καὶ τὴν ἰδίαν ἐπισκέψεται δύναμιν. ἐγχειρήσας δὲ ἀπερισκέπτως, οὐκ ἂν ἐπιτελέσειε τὸ δόξαν. ἀλλ' οὔτε ἀγνοεῖν τὸν θεὸν δυνατὸν τῶν ἀναστησομένων σωμάτων τὴν φύσιν κατὰ τε μέρος ὅλον καὶ μόριον, οὔτε μὴν ὅποι χωρεῖ τῶν λυομένων ἕκαστον, καὶ ποῖον τῶν στοιχείων μέρος δέδεκται τὸ λυθὲν, καὶ χωρῆσαν πρὸς τὸ συγγενὲς, κἂν πάνυ

παρ'

nis veteris formam instaurandam. Quod si illud probare nequeant, desistant ab ista impia incredulitate & blasphematione nefaria. Verum quod falsa dicturi sunt, sive Deum allegent non posse, sive non velle, ex sequentibus apparebit. Impotentia enim alicujus inde deprehenditur, si aut ignoret quid faciendum sit, aut si norit, imbecillior sit viribus quam ut probe efficiat. Qui enim ignorat quid faciendum, is neque conari, neque perficere quicquam potest, earum duntaxat rerum, quarum notitiam nullam habet. Qui autem cognoscit quid faciendum sit, & quomodo, & unde id confici possit, vires autem aut omnino non habet, aut non sufficientes habet ad rem exequendam quam probe intelligit: is si sapiat, suasque facultates inspiciat, aut non tentabit, aut ubi incircumspecte tentaverit, fine operis destituetur. Atqui neque possibile est ut Deus ignoret vel ex parte vel ex particula naturam corporum resurrectioni destinatorum. Neque enim latere potest quo singula ex tabidis membris abierint, & quæ in se elementorum partes putrefacta receperint, & in cognatam naturam admiserint: tametsi

tametsi omnino apud homines id quod rursum universitati elementorum affusum est, insecernibile videatur & indeprehensibile. Cui enim ante cujusquam rei procreationem ignota non erat futurorum elementorum natura, ex quibus corpora suum ortum traxerunt, neque partes elementorum incognitæ fuerunt ex quibus decerptur..s erat quod placeret ad humani corporis constitutionem: abunde manifestum est neque eum ignoraturum quo singula recedant quæ ad perfectionem operis assumsit, ubi integritas illa dissipata fuerit. Quantum enim ad rerum nostrarum ordinem aliorumque negotiorum dijudicationem, majus est, ea quæ nondum sunt præcognoscere: quantum autem ad Dei majestatem ejusque sapientiam, ambo ista, naturalia & ex æquo facilia sunt, & nondum nata præcognoscere & resoluta dignoscere. Atqui vires Dei sufficere ad corporum restitutionem indicat vel ipsorum procreatio. Si enim hominum corpora, quum non essent, condidit, eorumque principia unde originem trahunt, procreavit; etiam quomodocunque dissoluta, cum eadem facilitate

παρ' ἀνθρώποις ἀδιάκριτον εἶναι δοκῇ, τῷ παντὶ πάλιν προσφυῶς ἡνωμένον. ᾧ γὰρ οὐκ ἠγνόητο, πρὸ τῆς οἰκείας ἑκάστου συστάσεως, οὔτε τῶν γενησομένων στοιχείων ἡ φύσις, ἐξ ὧν τὰ τῶν ἀνθρώπων σώματα, οὔτε τὰ μέρη τούτων ἐξ ὧν ἤμελλεν λήψεσθαι τὸ δόξαν, πρὸς τὴν τοῦ ἀνθρωπείου σώματος σύστασιν· εὔδηλον ὡς οὐδὲ μετὰ τὸ διαλυθῆναι τὸ πᾶν, ἀγνοηθήσεται ποῦ κεχώρηκεν ἕκαστον ὧν εἴληφε πρὸς τὴν ἑκάστου συμπλήρωσιν. ὅσον μὲν γὰρ κατὰ τὴν νῦν κρατοῦσαν παρ' ἡμῖν τῶν πραγμάτων τάξιν, καὶ τὴν ἐφ' ἑτέρων κρίσιν, μεῖζον τὸ τὰ μὴ γενόμενα προγινώσκειν· ὅσον δὲ πρὸς τὴν ἀξίαν τοῦ θεοῦ, καὶ τὴν τούτου σοφίαν, ἀμφότερα κατὰ φύσιν· καὶ ῥᾴδιον ἐπίσης, τῷ τὰ μὴ γενόμενα προγινώσκειν, τὸ καὶ διαλυθέντα γινώσκειν. [1] καὶ μὴν καὶ τὴν δύναμιν, ὡς ἐστὶν ἀρκοῦσα πρὸς τὴν τῶν σωμάτων ἀνάστασιν, δείκνυσιν ἡ τούτων αὐτὴ γένεσις. εἰ γὰρ μὴ ὄντα κατὰ τὴν πρώτην σύστασιν ἐποίησε τὰ τῶν ἀνθρώπων σώματα, καὶ τὰς τούτων ἀρχάς· καὶ διαλυθέντα, καθ' ὃν ἂν τύχῃ τρόπον, ἀναστήσει μετὰ τῆς αὐτῆς

1. Vide Justin. Martyr. lib. Quæst. & Resp. ad Græcos.

εὐμα-

εἱμαρμένης· ἐπίσης γὰρ αὐτῷ καὶ τοῦτο δυνατόν. καὶ τῷ λόγῳ βλάβος οὐδέν, κἂν ἐξ ὕλης ὑποθῶνταί τινες τὰς πρώτας ἀρχάς· κἂν ἐκ τῶν στοιχείων, ὡς πρώτων, τὰ σώματα τὰ τῶν ἀνθρώπων· κἂν ἐκ σπερμάτων· ἧς γάρ ἐστι δυνάμεως καὶ τὴν παρὰ τῶν νενομισμένης ἄμορφον οὖσαν μορφῶσαι, καὶ τὴν ἀνείδεον καὶ διακόσμητον πολλοῖς καὶ διαφόροις εἴδεσι κοσμῆσαι, καὶ τὰ μέρη τῶν στοιχείων εἰς ἓν συναγαγεῖν, καὶ τὸ σπέρμα ἓν ὂν καὶ ἁπλοῦν εἰς πολλὰ διελεῖν, καὶ τὸ ἀδιάρθρωτον διαρθρῶσαι, καὶ τῷ μὴ ζῶντι δοῦναι ζωήν, τῆς αὐτῆς ἐστι καὶ τὸ διαλελυμένον ἑνῶσαι, καὶ τὸ κείμενον ἀναστῆσαι, καὶ τὸ τεθνηκὸς ζωοποιῆσαι πάλιν, καὶ τὸ φθαρτὸν μεταβαλεῖν εἰς ἀφθαρσίαν. τοῦ αὐτοῦ δ' ἂν εἴη καὶ τῆς αὐτῆς δυνάμεως καὶ σοφίας, καὶ τὸ διατεθρυμμένον πλήθει ζώων παντοδαπῶν, ὁπόσα τοῖς τοιούτοις σώμασιν ἐπιτρέχειν εἴωθε, καὶ τῶν ἐκ τούτων ἀγείρειν κόρον, διακρῖναι μὲν ἐκεῖθεν, ἑνῶσαι δὲ πάλιν τοῖς οἰκείοις μέρεσι καὶ μορίοις, κἂν εἰς ἓν ἐξ ἐκείνων χωρήσῃ ζῷον, κἂν εἰς πολλά, κἂν ἐντεῦθεν εἰς ἕτερα, κἂν ἐκεί-

litate instaurabit: id enim illi æque possibile est. Neque inde hæc ratio labascet, sive ex materia originem rerum deducant, sive ex elementis, ut principiis omnium corpora hominum constituant, sive ex semine. Cujus enim est potestatis à sua conditione informem materiam transformare, nullaque figura indutam, multis & diversis vultibus exornare, & partes elementorum in unum cogere, & semen quod unum est & simplex, in multa dividere, & quod inarticulatum est, articulis distinguere, & vitam dare rei inanimatæ: ejusdem quoque potestatis est, & quod dissipatum est counire, & quod jacet surrigere, & quod mortuum denuo vivificare, & corruptibile mutare in incorruptibilitatem: ejusdem auctoris fuerit, & ejusdem potestatis & sapientiæ, id quod discerptum est à multitudine omnigenarum bestiarum, quotcunque istiusmodi corpora invadere solent, aut inde satietatem colligere, ab ipsis separare, rursusque adjungere suis membris & partibus: sive illa antea in unam bestiam, sive in plures abscessere, sive inde in alias atque alias abiere, sive cum illis ipsis extabefacta, ad initia-

les origines redicere, prout naturali putrefactione resolvi solent. Quod scilicet viros eruditione admirabiles visum est plurimum perturbare, qui vulgi hæsitationes nescio quo pacto validas gravesque arbitrati sunt. Isti aiunt multa corpora miserorum in naufragiis & fluminibus piscibus escam de se præbuisse, multa item in bello oppetentium corpora, aut ex alia asperiori causa altisque circumstantiis rerum, quum sepulturam non adepta sint, feris, ut quæque fuit obvia, in prædam cessisse. Corpora igitur ad eum modum absumta, eorumque membra & partes unde constabant, quum à multis belluis dilaniata sint, ac proinde ex coalescendi natura, belluarum artubus cohæreant, impossibile esse aiunt ut secerniculum aut discriminationem patiantur. Præter hæc & illud secundum, quod adhuc implicatius est, in medium adferunt: in animalibus scilicet de pastu humanorum artuum nutritis, quum & ipsa vesca sint & idonea ad cibum, ac proinde in humanos ventres ingerantur, ac cum devorantium corpore coalescant: necessarium omnino esse ut hominis membra, quæ prius istis anima-

ἐκείνοις αὐτοῖς συνδιαλυθὲν ἐπὶ τὰς πρώτας ἀρχὰς ἐνεχθῇ, κατὰ τὴν φυσικὴν εἰς ταύτας ἀνάλυσιν. ὃ δὴ καὶ μάλιστα ταράττειν ἔδοξέ τινας καὶ τῶν ἐπὶ σοφίᾳ θαυμαζομένων, ἰσχυρὰς οὐκ οἶδ' ὅπως ἡγησαμένων τὰς παρὰ τῶν πολλῶν φερομένας διαπορήσεις. οὗτοι δέ γε φασὶν πολλὰ μὲν σώματα τῶν ἐν ναυαγίοις καὶ ποταμοῖς δυσθανάτων ἰχθύσι γενέσθαι τροφὴν, πολλὰ δὲ τῶν ἐν πολέμοις θνησκόντων, ἢ κατ' ἄλλην τινὰ τραχυτέραν αἰτίαν καὶ πραγμάτων περίστασιν, ταφῆς ἀμοιρούντων, τοῖς προστυγχάνουσι ζώοις προκεῖσθαι βοράν. τῶν οὖν οὕτως ἀναλισκομένων σωμάτων, καὶ τῶν ταῦτα συμπληρούντων μερῶν καὶ μορίων, εἰς πολὺ πλῆθος ζώων διαθρυπτομένων, καὶ διὰ τῆς τροφῆς τοῖς τῶν τρεφομένων σώμασιν ἑνουμένων· πρῶτον μὲν τὴν διάκρισιν τούτων φασὶν ἀδύνατον. πρὸς δὲ ταύτῃ τὸ δεύτερον ἀπορώτερον. τῶν γὰρ τὰ σώματα τῶν ἀνθρώπων ἐκβοσκηθέντων ζώων, ὁπόσα πρὸς τροφὴν ἀνθρώποις ἐπιτήδεια, διὰ τῆς τούτων γαστρὸς ἰόντων, καὶ τοῖς τῶν μετειληφότων σώμασιν ἑνουμένων, ἀνάγκην εἶναι πᾶσαν, τὰ μέρη τῶν ἀνθρώπων ὁπόσα τροφὴ γέγονε τοῖς μετειληφόσι ζώοις, πρὸς ἕτερα τῶν ἀνθρώ-

πων μεταχωρεῖν σώματα, τῶν μεταξὺ τούτοις τραφέντων ζώων, τὴν ἐξ ὧν ἐτράφησαν τροφὴν διαπορθμευόντων εἰς ἐκείνους τοὺς ἀνθρώπους ὧν ἐγένετο τροφή. εἶτα τούτοις ἐπιτραγῳδοῦσι τὰς ἐν λιμοῖς καὶ μανίαις τολμηθείσας τεκνοφαγίας, καὶ τοὺς κατ' ἐπιβουλὴν ἐχθρῶν ὑπὸ τῶν γεννησαμένων ἐδηδεσμένους παῖδας, καὶ τὴν Μηδικὴν τράπεζαν ἐκείνην, καὶ τὰ τραγικὰ δεῖπνα Θυέστου, καὶ τοιαύτας δή τινας ἐπισυνείρουσι παρ' Ἕλλησι καὶ βαρβάροις καινουργηθείσας συμφοράς· ἔκ τε τούτων κατασκευάζουσιν, ὡς νομίζουσιν, ἀδύνατον τὴν ἀνάστασιν, ὡς οὐ δυναμένων τῶν αὐτῶν μερῶν ἑτέροις τε καὶ ἑτέροις συναναστῆναι σώμασιν· ἀλλ' ἤτοι τὰ τῶν προτέρων συστῆναι μὴ δύνασθαι, μετεληλυθότων τῶν ταῦτα συμπληρούντων μερῶν πρὸς ἑτέρους, ἢ τούτων ἀποδοθέντων τοῖς προτέροις, ἐνδεῶς ἕξειν τὰ τῶν ὑστέρων. ἐμοὶ δὲ δοκοῦσιν οἱ τοιοῦτοι, πρῶτον μὲν τὴν τοῦ δημιουργήσαντος καὶ διοικοῦντος τόδε τὸ πᾶν ἀγνοεῖν δύναμίν τε καὶ σοφίαν, ἑκάστου ζώου φύσει καὶ γένει τὴν προσφυῆ καὶ κατάλληλον συναρμόσαντος τροφὴν, καὶ μήτε πᾶσαν φύσιν πρὸς ἕνωσιν ἢ κρᾶσιν παντὸς σώμα-

τος

animalibus in escam cessere, ad alia humana corpora transeant: quum animalia illa quæ hominum interea carnibus victitaverunt, acceptas ex eo nutrimento pulpas & thoros rursus in homines illos transmittant, à quibus devorantur. Deinde istis verbis tragice accumulant liberorum vel in fame vel in insania mactatos artus, rursusque per dolos & insidias inimicorum à parentibus devoratos filios: simulque & Medorum mensam, & tragicas Thyestæ epulas adjiciunt, & quæcunque vel apud Græcos, vel apud barbaros novo & admirando modo patratæ sunt calamitates. Ex istis inducunt, ut sibi persuadent, impossibilem esse resurrectionem, quum fieri nequeat ut eadem membra cum aliis atque aliis corporibus una consurgant. Nam aut priora corpora constare nequire, quum eo transierint membra ubi complementum præbent: aut si prioribus possessoribus reddantur, sequentium corpora imperfecta fore. Istiusmodi homines videntur mihi primum conditoris & gubernatoris omnium non satis scire nec potentiam nec sapientiam, qui singulis animalium naturis & generibus cogna-

tam & congruentem adaptat alimoniam, neque quamlibet naturam ad cujuslibet corporis coagulationem & misturam transire constituit: neque rursus hæsitat in discriminandis rerum coalitarum partibus, ac singulis rebus secundum ipsarum naturam & agere & pati permittit, ac nonnunquam prohibet, ac omne quod vult & quo vult & trajicit & aufert. Præter hæc neque iidem perspectas mihi habere videntur vires naturasque tum alentium tum alitarum rerum: alioqui cognovissent, non omne quod aliunde alicui inculcatur, cibum ejus naturæ cognatum & idoneum reddi: sed quædam statim ut complexu ventriculi recepta sint, perire vel vomendo, vel excernendo, vel alio aliquo pacto disjiciendo: adeo ut ne paulisper quidem primam & naturalem sustineant concoctionem, aut ullam cum altricibus rebus commistionem. Ut igitur neque omnino omne quod concoctum est, primamque mutationem suscepit, cum fomitibus corporis conjungitur, quum quædam per ventrem à nutritia virtute excernantur, quædam post secundam mutationem concoctionemque jecinoris secernantur, & ad alia segre-

τοῦ ἰέναι δικαιώσαντος, μήτε πρὸς διά-
κρισιν τῶν ἑνωθέντων ἀπόρως ἔχοντος· ἀλλὰ
καὶ τῇ καθ' ἕκαστον φύσει τῶν γινομένων, τὸ
δρᾶν ἢ πάσχειν ἃ πέφυκεν, ἐπιτρέποντος,
ἄλλοτε καὶ κωλύοντος, καὶ πῇ ὃ βούλεται
καὶ πρὸς ὃ βούλεται συγχωροῦντος, ἢ με-
ταστρέφοντος. πρὸς δὲ τοῖς εἰρημένοις, μηδὲ
τὴν ἑκάστου τῶν τρεφόντων ἢ τρεφομένων ἐπε-
σκέφθαι δύναμίν τε καὶ φύσιν. ἦ γὰρ ἂν
ἔγνωσαν, ὅτι μὴ πᾶν ὃ προσφέρεταί τις ὑ-
πενδόσει τῆς ἔξωθεν ἀνάγκης, τοῦτο γίνε-
ται τῷ ζώῳ τροφὴ προσφυής· ἀλλὰ τὰ μὲν
ἅμα τῷ προσομιλῆσαι τοῖς περιπτυσσομέ-
νοις τῆς κοιλίας μέρεσι, φθείρεσθαι πέφυ-
κεν, ἐμούμενά τε καὶ διαχωρούμενα, καὶ τρόπον
ἕτερον διαφορούμενα, ὡς μηδὲ κατὰ βραχὺ
τὴν πρώτην καὶ κατὰ φύσιν ὑπομεῖναι πέψιν,
ἥπου γε τὴν εἰς τὸ τρεφόμενον σύγκρασιν. ὥσ-
περ οὖν οὐδὲ πᾶν τὸ πεφθὲν καὶ τὴν πρώτην
δεξάμενον μεταβολὴν, τοῖς τρεφομένοις μο-
ρίοις προσπελάζει πάντως, τινῶν μὲν κατ'
αὐτὴν τὴν γαστέρα τῆς θρεπτικῆς δυνάμεως
ἀποκεινουμένων, τῶν δὲ κατὰ τὴν δευτέραν
μεταβολὴν, καὶ τὴν ἐν ἥπατι γινομένην πέ-
ψιν, διακρινομένων, καὶ πρὸς ἕτερόν τι με-
ταχωρούντων, ὃ τὴν τοῦ τρέφειν ἐκβέβηκε
δυνα-

δύναμιν· καὶ αὐτῆς γε τῆς ἐν ἥπατι γινομένης μεταβολῆς οὐ πάσης εἰς τροφὴν ἀνθρώποις χωρούσης, ἀλλ' εἰς ἃ πέφυκε περιττώματα διακρινομένης· τῆς τε καταλειφθείσης τροφῆς ἐν αὐτοῖς ἔσθ' ὅτε τοῖς τρεφομένοις μέρεσι καὶ μορίοις πρὸς ἕτερόν τι μεταβαλλούσης, κατὰ τὴν ἐπικράτειαν τοῦ πλεονάζοντος ἢ περιττεύοντος, καὶ φθείρειν πως ἢ πρὸς ἑαυτὸ τρέπειν τὸ πλησιάσαν εἰωθότος. πολλῆς οὖν οὔσης ἐν πᾶσι τοῖς ζώοις τῆς φυσικῆς διαφορᾶς, καὶ αὐτῆς γε τῆς κατὰ φύσιν τροφῆς ἑκάστῳ γένει ζώου καὶ τῷ τρεφομένῳ σώματι συνεξαλλαττομένης· τρίτης δὲ κατὰ τὴν ἑκάστου ζώου τροφὴν [1] γινομένης καθάρσεως καὶ διακρίσεως, δεῖ πάντως φθείρεσθαι μὲν καὶ διαχωρεῖν ἢ πέφυκεν, ἢ πρὸς ἕτερόν τι μεταβάλλειν πᾶν ὁπόσον ἀλλότριον εἰς τὴν τοῦ ζώου τροφὴν, συγκραθῆναι μὴ δυνάμενον· συμβαίνουσαν δὲ καὶ κατὰ φύσιν εἶναι τῇ τοῦ τρέφοντος σώματος δύναμιν ταῖς τοῦ τρεφομένου ζώου δυνάμεσι, καὶ ταύτην ἐλθοῦσαν δι' ὧν πέφυκε κριτηρίων, καὶ καθαρθεῖσαν ἀκριβῶς τοῖς φυσικοῖς καθαρσίοις, εἰλικρινεστάτην γενέσθαι πρόσληψιν εἰς οὐσίαν· ἣν δὴ καὶ μόνην, ἐπαληθεύων ἄν τις τοῖς πράγμασιν, ὀνομάσειεν τρο-

1. Lege γινομένης.

φὴν,

segregentur, quæ vim nutriendi excessere: ipsa quoque quæ in jecore mutatio est, ut nec ex toto in alimentum cedit, sed quædam in consuetas superfluitates excolat, ipsa quoque ad ipsum quod retinuit ad membra nutrienda nonnunquam in aliud quippiam convertit, secundum vim ejus quod prædominatur aut superabundat: quod aut corrumpere sibi quod proximum est, aut in sui naturam transfundere solet. Quum multa igitur sit in omnibus animalibus naturalis differentia, ipsumque alimentum unicuiq; generi animantium ex natura accommodetur, & cum corpore quod inde alitur commutetur, triplex item in animantium cibis purificatio & excolatio fiat: omnino opus est perire & transmitti quo solet, aut in aliud verti, quicquid alienum est ab alimonia & fomite alicujus animalis, ut quod commisceri & contemperari nequeat: oportetque vim nutrimenti animalis naturaliter consentire, eamque descendere per naturalia, ut sic loquar, cribra & secernicula, & expurgatam plane naturalibus illis emundationibus, sincerissimam reddi, ut corpori addatur: quam solam, si

rerum

rerum vocabulis vere utaris, alimoniam voces, ut quæ abjecerit omne quod alienum eſt & noxium ad alendi animalis conſtitutionem, ſimulque excuſſerit magnum illud infarctum & inculcatum pondus, quo ſtomachus uſus eſt ad ſui repletionem, & appetentiæ remedium. Sed hanc ſinceriſſimam alimoniam nemo ambiget cum corpore uniri, omnibuſque illius & membris & articulis implicari & coaleſcere, eamque quæ ſe ita non habet & contra naturam eſt, perire quidem ſtatim, ſi validioribus corporis viribus affundatur: perdere autem paulatim eas corporis vires quas ſuperarit, atque in pravos ſuccos & venenatos convertere: ut quæ nihil familiare aut amicum alendo corpori afferat. Et hujus rei maximum argumentum eſt, quod corpora inde vel dolor, vel periculum, vel mors invadat, ſi acriori appetitu venenatum aliquid & alienum à natura una cum cibis ingurgitaverint: quod haud dubie univerſo corpori exitioſum eſt: ſi quidem quæ nutriuntur, familiaribus & naturalibus rebus nutriantur, contrariis autem corrumpantur. Si igitur diſſidio earum rerum quæ cum

φὴν, ὡς ἀποβάλλεσθαι πᾶν ὁπόσον ἀλλότριον καὶ βλαβερὸν εἰς τὴν τοῦ τρεφομένου ζώου σύστασιν, καὶ τὸν πολὺν ἐκεῖνον ὄγκον [1] ἐπεισαχθέντα πρὸς τὴν τῆς γαστρὸς ἀποπλήρωσιν, καὶ τὴν τῆς ὀρέξεως θεραπείαν. ἀλλὰ ταύτην μὲν τὴν εἰλικρινεστάτην οὐκ ἄν τις ἀμφισβητήσειεν ἑνοῦσθαι τῷ τρεφομένῳ σώματι, συμπλεκομένην τε καὶ περιπλαττομένην πᾶσι τοῖς τούτου μέρεσι καὶ μορίοις· τὴν δὲ ἑτέρως ἔχουσαν καὶ παρὰ φύσιν, φθείρεσθαι μὲν ταχέως, ἢν ἐρρωμενεστέρᾳ συμμίξῃ δυνάμει, φθείρειν δὲ σὺν εὐμαρείᾳ τὴν κρατηθεῖσαν, εἴς τε μοχθηροὺς ἐκτρέπεσθαι χυμοὺς καὶ φαρμακώδεις ποιότητας· ὡς μηδὲν οἰκεῖον ἢ φίλον τῷ τρεφομένῳ σώματι φέρουσαν. καὶ τούτου τεκμήριον μέγιστον τὸ πολλοῖς τῶν τρεφομένων ζώων ἐκ τούτων ἐπακολουθεῖν ἄλγος, ἢ κίνδυνον, ἢ θάνατον, ἢν ὑπὸ σφοδροτέρας ὀρέξεως τῇ τροφῇ καταμεμιγμένον συνεφελκύσηταί τι φαρμακῶδες καὶ παρὰ φύσιν. ὃ δὴ καὶ πάντως φθαρτικὸν ἂν εἴη τοῦ τρεφομένου σώματος, εἴ γε τρέφεται μὲν τὰ τρεφόμενα, τοῖς οἰκείοις καὶ κατὰ φύσιν, φθείρεται δὲ τοῖς ἐναντίοις. εἰ γὰρ οὖν τῇ διαφορᾷ τῶν τῇ φύσει διαφερόντων ζώων ἡ κατὰ φύσιν συνδιῄρηται τροφὴ, καὶ ταύτης γε αὐ-

1. Forsan ἐπισαχθέντα.

τῆς

τῆς οὔτε πᾶν ὅπερ ἂν προσενέγκηται τὸ ζῶον, οὔτε τὸ τυχὸν ἐκ τούτου τῶν πρὸς τὸ τρεφόμενον σῶμα δέχεται σύγκρασιν, ἀλλ' αὐτὸ μόνον τὸ διὰ πάσης πέψεως κεκαθαρμένον, καὶ μεταβεβληκὸς εἰλικρινῶς πρὸς τὴν τοῦ ποιοῦ σώματος ἕνωσιν, καὶ τοῖς τρεφομένοις μέρεσιν εὐάρμοστον· εὔδηλον ὡς οὐδὲν τῶν παρὰ φύσιν ἑνωθείη ποτ' ἂν τούτοις οἷς οὐκ ἔστι τροφὴ προσφυὴς καὶ κατάλληλος, ἀλλ' ἤτοι κατ' αὐτὴν τὴν κοιλίαν διαχωρεῖ, πρὶν ἕτερόν τινα γεννῆσαι χυμὸν, ὠμὸν καὶ διεφθαρμένον, ἢ συστὰν ἐπὶ πλεῖον, τίκτει πάθος ἢ νόσον δυσίατον, συνδιαφθείρουσαν καὶ τὴν κατὰ φύσιν τροφὴν, ἢ καὶ αὐτὴν τὴν τῆς τροφῆς δεομένην σάρκα. ἀλλὰ κἂν ἀπωσθῇ ποτε, φαρμάκοις τισὶν, ἢ σιτίοις βελτίοσιν, ἢ ταῖς φυσικαῖς δυνάμεσι νικηθὲν, μετ' οὐκ ὀλίγης ἐξεῤῥύη τῆς βλάβης, ὡς μηδὲν φέρον τοῖς κατὰ φύσιν εἰρηνικὸν, διὰ τὸ πρὸς τὴν φύσιν ἀσύγκρατον. ὅλως δὲ κἂν συγχωρήσῃ τις τὴν ἐκ τούτων εἰσιοῦσαν τροφὴν ([1] προσειρήσθω δὲ τοῦτο συνηθέστερον) καίπερ οὖσαν παρὰ φύσιν, διακρίνεσθαι καὶ μεταβάλλειν εἰς ἕν τι τῶν ὑγραινόντων, ἢ ξη-

1. Parenthesin hanc à Nannio male versam H. Stephanus interpretatus est his verbis, *Ita enim, consuetudinem sequendo, appelletur.*

ραινόντων,

cum natura animalium pugnant, naturalis quoque alimonia corrumpitur; eaque neque omnia quæ corpori admota fuerint, nec temere quidvis inde ad coalescentiam carnis assumit, sed illud solum quod omni concoctione purificatum, sincerum pervenerit, ideoque alendis membris accommodum sese exhibuerit: evidens satis est nihil uniri innaturalium iis animantibus, quibus is cibus & naturalis & idoneus non sit: sed vel per ipsam alvum crudum corruptumque dejici, priusquam in alium succum degeneret: aut quum diutius inhæserit membris, vel vitium, vel morbum vix curabilem gignere, corrumpentem aut ipsam naturalem alimoniam, aut ipsam carnem alimoniæ indigam. Quod si expellatur pharmacis aut meliori diæta, aut naturalibus viribus superetur, non tamen sine noxa parva è corpore effluxerit, ut quod nihil paratum naturæ adferat, ob coeundi coalescendique inhabilitatem. In summa si quis concedat inde summitti alimoniam, adjiciat quoque id usitatum esse, quanquam revera præter naturam sit ut digeratur & transmittatur in aliquid vel humidum vel

 siccum,

ſiccum, vel calidum vel frigidum: ne iſtis quidem conceſſis futurum eſt ut inde aliquid momenti fiat reſurgentium corporibus, ut inde membrorum pleniorem numerum conſequantur: quum nec membrum ſit corporis, nec ſpeciem vicemque membri exhibeat, imo nec ſemper permaneat cum membris alendis, aut, ſi una conſurgat, cum reſurgentibus membris, nihil ad uſum vitæ conferat: ſive ſit ſanguis, ſive pituita, ſive bilis, ſive ſpiritus. Non enim quo aliquando indiguerunt aleſcentia corpora, indigebunt & tunc quum una cum fame & corruptione, ſublata fuerit neceſſitas ſumendi nutrimenti. Jam ſi uſque ad creationem carnis pertingere quis fingat iſtiuſmodi ex cibis tranſmutationem, ne ita quidem neceſſitas coget, carnem recenter ex alimonia creatam, ubi acceſſerit ad alterius corpus, rurſus ad abſolvendam prioris corporis perfectionem, quaſi membrum aliquod ipſius, emigrare: eo quod caro quæ adventitium illud ex alieno corpore aſſumſit, neque perpetuo conſervet, neque ipſum illud adventitium ibi ſtabile ſit quo pervenit, gravemque in diverſum accipiat commutationem,

ραινόντων, ἢ θερμαινόντων ἢ ψυχόντων· οὐδ' οὕτως ἐκ τῶν συγχωρηθέντων αὐτοῖς γενήσεταί τι περιεργον, τῶν μὲν ἀνισταμένων σωμάτων, ἐκ τῶν οἰκείων μερῶν πάλιν συνισταμένων, οὐδενὸς δὲ τῶν εἰρημένων μέρους ὄντος, οὐδὲ τῶν ὡς μέρους ἐπέχοντος σχέσιν ἢ τάξιν· οὐ μὴν οὐδὲ παραμένοντος πάντοτε τοῖς τρεφομένοις τοῦ σώματος μέρεσιν, ἢ συνανισταμένου τοῖς ἀνισταμένοις· οὐδὲν συντελοῦντος ἔτι πρὸς τὸ ζῆν, οὐχ αἵματος, οὐ φλέγματος, οὐ χολῆς, οὐ πνεύματος. οὐδὲ γὰρ ὧν ἐδεήθη ποτὲ τὰ τρεφόμενα σώματα, δεηθήσεται καὶ τότε, συνανῃρημένης τῇ τῶν τρεφομένων ἐνδείᾳ καὶ φθορᾷ τῆς ἐξ ὧν ἐτρέφετο χρείας. ἔπειθ' ὅτι κἂν μέχρι σαρκὸς φθάνειν τὴν ἐκ τῆς τοιαύτης τροφῆς μεταβολὴν ὑποθοῖτό τις, οὐδ' οὕτως ἀνάγκη τις ἔσται τὴν νεωστὶ μεταβληθεῖσαν ἐκ τῆς τοιᾶσδε τροφῆς σάρκα, προσπελάσασαν ἑτέρου τινὸς ἀνθρώπου σώματι, πάλιν ὡς μέρος εἰς τὴν ἐκείνου τελεῖν συμπλήρωσιν, τῷ μήτε αὐτὴν τὴν προσλαμβάνουσαν σάρκα πάντοτε φυλάττειν ἣν προσείληφε, μήτε τὴν ἑνωθεῖσαν, ταύτῃ μόνιμον εἶναι καὶ παραμένειν ᾗ προσετέθη· πολλὴν δὲ καὶ τὴν ἐπὶ θάτερα δέχεσθαι μεταβολήν, ποτὲ μὲν πόνοις ἢ

φροντίσι διαφορουμένην, ἄλλοτε δὲ λύπαις, ἢ καμάτοις, ἢ νόσοις, συντηκομένην, καὶ ταῖς ἐξ ἐγκαύσεως ἢ περιψύξεως ἐπιγινομέναις δυσκρασίαις μὴ συμμεταβαλλομένων σαρκὶ καὶ πιμελῇ τῶν δημιουργῶν ἐν τῷ μένειν ἅπερ εἰσὶ τὴν τροφὴν δεχομένων. τοιούτων δὲ [1] γενομένων ἐπὶ τῆς σαρκὸς παθημάτων, πολύ γ' ἔτι μᾶλλον εὕροι τις ἂν ταῦτα πάσχουσαν τὴν ἐξ ἀνοικείων τρεφομένην σάρκα· νῦν μὲν, εἰς ὄγκον προϊοῦσαν καὶ παινομένην ἐξ ὧν προσείληφε· εἶτα πάλιν ἀποπτύουσαν ὃν ἂν τύχῃ τρόπον καὶ μειουμένην, ἢ μιᾷ τινι τῶν ἔμπροσθεν εἰρημένων αἰτιῶν, ἢ πλείοσι· μόνα δὲ παραμένειν τοῖς μέρεσιν ἃ συνδεῖν ἢ στέγειν ἢ θάλπειν πέφυκε τῶν ὑπὸ τῆς φύσεως ἐξειλεγμένων καὶ τούτοις προσπεφυκῦαν, οἷς τὴν κατὰ φύσιν συνεξέπλησε ζωὴν καὶ τοὺς ἐν τῇ ζωῇ πόνους. ἀλλ' οὔτε γὰρ καθ' ὃ δεῖ κρινομένων τῶν ἔναγχος ἐξητασμένων, οὔτε κατὰ συγχώρησιν παραδεχθέντων τῶν ἐπ' ἐκείνοις γεγυμνασμένων, ἀληθὲς δεικνῦσαι δυνατὸν τὸ πρὸς αὐτῶν λεγόμενον, οὔτ' ἂν συγκραθείη ποτὲ τὰ τῶν ἀνθρώπων σώματα τοῖς τῆς αὐτῆς οὖσι φύσεως, κἂν ὑπ' ἀγνοί-

1. Lege γινομένων.

tionem, quum nunc doloribus evanescat, nunc curis, mœroribus, laboribus morbisque extabescat: nunc æstus frigorisque intemperiis non permutent se humores in carnem & adipem, adeo ut maneant corpora quæ hos cibos sumserunt, id ipsum quod sunt. Quum istiusmodi contingant in carnis affectionibus, multo magis ea deprehendas in carne ex impropriis cibis nutrita, quum ea nunc quidem in molem succrescat, & pinguedinem induat ex cibis assumtis, mox rursum id abjiciat aliquo modo ac diminuatur, aut una aut pluribus causis quas superius recensuimus: ita ut sola maneat ea caro quæ colligandi, condensandi, fovendi vim habet: nimirum quæ electa sit à natura, iisque cibis affinis est & congenita, quibus secundum naturam vitam coadimplet, vitæque labores sustinet. Sed neque ut par est excretis iis de quibus loquuti sumus, neque, ut concedamus, receptis: verum ostendi potest quod ab istis objicitur: neque affundi & admisceri poterint humana corpora iis corporibus quæ sunt ejusdem speciei, sive in edendo fallantur alicujus fraude, ut sensum ejus rei non

percipiant: ſive ſponte, vel ex fame, vel ex inſania, devorandis ſui generis corporibus ſeſe contaminent. Niſi fortaſſe nos lateat eſſe feras humana forma præditas, aut miſtis naturis compoſitas, ut partim ex hominibus, partim ex belluis conſtent: quales confingere ſolent audaciſſimi poetarum. At quid dicam de corporibus nulli animalium in cibum deputatis, & quæ ſola dignitate naturæ honorem ſepulcri obtinuerunt? quum opifex rerum nulli animalium corpus cognatæ formæ in cibum aſſignaverit, licet ſecundum naturam diverſæ ſpeciei corporibus paſcantur. Quod ſi oſtendere poſſunt, humanas carnes hominibus in cibum ex inſtituto naturæ attributas eſſe, quid impedimenti erit quominus mutuæ noſtri devorationes fiant, ut in rebus à natura conceſſis fieri ſolet: atque adeo qui iſtud audent dicere, dilectiſſimorum corporibus in uſum epularum helluentur, ut magis familiaribus cibis, cariſſimoſque ſibi commanducent? Quod ſi iſtud dictu impium, ſummumque & teterrimum piaculum eſt, & ſupra omnes nefarios cibos & facinora deteſtandum, hominem humanos artus devorare:

vorare:

ὥς ποτε κλαπῶσι τὴν αἴσθησιν δι' ἑτέρου τινὸς μεταχόντες τοιούτου σώματος, κἂν αὐτόθεν ὑπ' ἐνδείας ἢ μανίας ὁμοειδοῦς τινος μιανθῶσι σώματι· εἴ γε μὴ λελήθασιν ἡμᾶς ἀνθρωποειδεῖς τινες ὄντες θῆρες, ἢ μικτὴν ἔχοντες φύσιν ἐξ ἀνθρώπων καὶ θηρίων, οἵους πλάττειν εἰώθασιν οἱ τολμηρότεροι τῶν ποιητῶν. καὶ τί δεῖ λέγειν περὶ τῶν μηδενὶ ζώῳ πρὸς τροφὴν ἀποκληρωθέντων σωμάτων, μόνην δὲ τὴν εἰς γῆν ταφὴν ἐπὶ τιμῇ τῆς φύσεως μεμοιραμένων; ὅπου γε μηδ' ἄλλο τι τῶν ζώων τοῖς ἐκ τοῦ αὐτοῦ εἴδους εἰς τροφὴν ἀπεκλήρωσεν ὁ ποιήσας· κἂν ἐν ἄλλοις τισὶ τῶν ἑτερογενῶν τροφὴ γίνηται κατὰ φύσιν. εἰ μὲν οὖν ἔχοιεν δεικνύναι σάρκας ἀνθρώπων ἀνθρώποις εἰς βρῶσιν ἀποκληρωθείσας, οὐδὲν κωλύσει τὰς ἀλληλοφαγίας εἶναι κατὰ φύσιν, ὥσπερ ἄλλο τι τῶν τῇ φύσει συγκεχωρημένων, καὶ τούς γε τὰ τοιαῦτα λέγειν τολμῶντας, τοῖς τῶν φιλτάτων ἐντρυφᾶν σώμασιν ὡς οἰκειοτέροις, ἢ καὶ τοὺς εὐνουστάτους σφίσι, τούτοις αὐτοῖς ἑστιᾶν. εἰ δὲ τοῦτο μὲν οὐδ' εἰπεῖν εὐαγές, τὸ δὲ σαρκῶν ἀνθρώπων ἀνθρώπους μετασχεῖν, ἔχθιστόν τι καὶ παμμίαρον, καὶ πάσης ἐκθέσμου

καὶ

καὶ παρὰ φύσιν βρώσεως ἢ πράξεως ἐναγέστερον· τὸ δὲ παρὰ φύσιν οὐκ ἄν ποτε χωρήσειεν εἰς τροφὴν τοῖς ταύτης δεομένοις μέρεσι καὶ μορίοις· τὸ δὲ μὴ χωροῦν εἰς τροφὴν, οὐκ ἂν ἑνωθείη τούτοις ἃ μηδὲ τρέφειν πέφυκεν· οὐδὲ τὰ τῶν ἀνθρώπων σώματα συγκριθείη ποτ' ἂν τοῖς ὁμοίοις σώμασιν, οἷς ἐστιν εἰς τροφὴν παρὰ φύσιν, κἂν πολλάκις διὰ τῆς τούτων ἴῃ γαστρὸς, κατά τινα πικροτάτην συμφοράν. ἀποχωροῦντα δὲ τῆς θρεπτικῆς δυνάμεως, καὶ σκιδνάμενα πρὸς ἐκεῖνα πάλιν ἐξ ὧν τὴν πρώτην ἔσχε σύστασιν, ἑνοῦται μὲν τούτοις ἐφ' ὅσον ἂν ἕκαστον τύχῃ χρόνον· ἐκεῖθεν δὲ διακριθέντα πάλιν σοφίᾳ καὶ δυνάμει τοῦ πᾶσαν ζώου φύσιν σὺν ταῖς οἰκείαις δυνάμεσι συγκρίναντος, ἑνοῦται προσφυῶς ἕκαστον ἑκάστῳ, κἂν πυρὶ καυθῇ, κἂν ὕδατι κατασαπῇ, κἂν ὑπὸ θηρίων ἢ τῶν ἐπιτυχόντων ζώων καταδαπανηθῇ, κἂν τοῦ παντὸς σώματος ἐκκοπὲν, προδιαλυθῇ τῶν ἄλλων μερῶν· ἑνωθέντα δὲ πάλιν ἀλλήλοις, τὴν αὐτὴν ἴσχει χώραν πρὸς τὴν τοῦ αὐτοῦ σώματος ἁρμονίαν τε καὶ σύστασιν, καὶ τὴν τοῦ νεκρωθέντος ἢ καὶ πάντῃ διαλυθέντος ἀνάστασιν



vorare: deinde si verum est, non recipi à membris famelicis quod contra naturam est, ac rursus quod non recipitur pro cibo, cum illis corporibus coalescere non posse, quibus ex natura cibus non est: fieri non potest ut unquam humana corpora sui generis corporibus confundantur, quibus præter naturam in cibum obtruduntur: etiamsi in horum ventres ingerantur, ex aliqua perquam acerba calamitate. Resilientia enim à vi nutritiva, eoque disjecta unde primum ortum traxerunt, suis quidem primordiis uniuntur ad tempus aliquod, inde tamen rursus discreta sapientia & potentia illius qui omnia temperat, singula singulis decentissime coaptabuntur: sive ea igni concremata sint, sive aquis contabuerint, sive à belluis devorata, sive ex viventis adhuc corpore excisa, ante alios artus computruerint: coeuntia autem rursus inter se, eundem locum obsidebunt, ut eandem proportionem constitutionemque corporis reddant, mortuique vel omnino dissipati resurrectionem & vitam instaurent. Hæc in longum extendere non est opportunum. Confessam enim & minime controversam judicationem habent,

habent, ſaltem apud illos qui ferinos & belluarum ritus odio proſequuntur. Sed quum multa utilia ſuppetant ad præſentis negotii examinationem, primum excludi eos opto qui ad humana opera defugiunt, eorumque operum artifices homines, quorum opera contrita, aut tempore carioſa, aut alia ratione perdita, renovari nequeunt: deinde ex ſimilitudine à figulis & fabris capta oſtendere ſatagunt, Deum aut nolle, aut, ſi velit, non poſſe cadaver extinctum vel evanidum in integrum reſtituere: neque ſecum reputant quod per hæc peſſime in Deum contumelioſi ſunt, dum inter ſe comparant vires undiquaque diſtantes, vel potius iſtarum virium poſſeſſores, & artificialia cum naturalibus in contentionem mittunt. Cum iſtiuſmodi hominibus ſerio agere, culpa non vacat. Stultum enim revera eſt, levibus vaniſque contradicere: longe autem probabilius eſt, ac omnium veriſſimum, illud ſcilicet allegare, quod hominibus impoſſibile ſit, Deo poſſibile eſſe. Si vero per hæc ipſa ut probabilia, aut per omnia ſuperius excuſſa, ratio demonſtrat, id poſſibile Deo eſſe: ſatis liquet, pro impoſſi-

καὶ ζωήν. ταῦτα μὲν οὖν ἐπὶ πλεῖον μηκύνειν οὐκ εὔκαιρον· ὁμολογουμένην γὰρ ἔχει τὴν ἐπίκρισιν, τοῖς γε [1] μὴ μιξοθήροις· πολλῶν δὲ ὄντων τῶν εἰς τὴν προκειμένην ἐξέτασιν χρησιμωτέρων, παραιτοῦμαι δὴ νῦν τοὺς καταφεύγοντας ἐπὶ τὰ τῶν ἀνθρώπων ἔργα, καὶ τοὺς τούτων δημιουργοὺς ἀνθρώπους, οἳ τὰ συντριβέντα τῶν ἔργων, ἢ χρόνῳ παλαιωθέντα, ἢ καὶ ἄλλως διαφθαρέντα καινουργεῖν ἀδυνατοῦσιν· εἶτα ἐξ ὁμοίου τοῖς κεραμεῦσι καὶ τέκτοσι δεικνῦσαι πειρωμένους, τὸ καὶ τὸν θεὸν μήτ᾽ ἂν βουληθῆναι, μήτε βουληθέντα δυνηθῆναι νεκρωθὲν ἢ καὶ διαλυθὲν ἀναστῆσαι σῶμα· καὶ μὴ λογιζομένους ὅτι διὰ τούτων τοῖς χειρίστοις ἐξυβρίζουσιν εἰς θεόν, συνεξισοῦντες τὴν πάντη διεστηκότων τὰς δυνάμεις, μᾶλλον δὲ καὶ τῶν ταύταις χρωμένων ταῖς οὐσίαις καὶ τὰ τεχνητὰ τοῖς φυσικοῖς. περὶ μὲν οὖν τούτων σπουδάζειν οὐκ ἀνεπιτίμητον· ἠλίθιον γὰρ ὡς ἀληθῶς τὸ τοῖς ἐπιπολαίοις καὶ ματαίοις ἀντιλέγειν· μακρῷ γε μὴν ἐνδοξότερον καὶ πάντων ἀληθέστατον τὸ φῆσαι τὸ παρὰ ἀνθρώποις ἀδύνατον, παρὰ θεῷ δυνατόν. εἰ δὲ δι᾽ αὐτὴν τούτων ὡς ἐνδόξων, καὶ διὰ πάν-

1. Antea legebatur μὴν μισοθήροις; quam

των

των τῶν μικρῷ πρόσθεν ἐξητασμένων, δείκνυσιν ὁ λόγος δυνατόν, εὔδηλον, ὡς οὐκ ἀδύνατον. ἀλλὰ μὴν οὐδ' ἀβούλητον· τὸ γὰρ ἀβούλητον, ἢ ὡς ἄδικον, αὐτῷ ἐστιν ἀβούλητον, ἢ ὡς ἀνάξιον. καὶ πάλιν, τὸ ἄδικον ἢ περὶ αὐτὸν θεωρεῖται τὸν ἀναστησόμενον, ἢ περὶ ἄλλον τινὰ παρ' αὐτόν. ἀλλ' ὅτι μὲν οὐδεὶς ἀδικεῖται τῶν ἔξωθεν καὶ τῶν ἐν τοῖς οὖσιν ἀριθμουμένων, πρόδηλον. οὔτε γὰρ αἱ νοηταὶ φύσεις ἐκ τῆς τῶν ἀνθρώπων ἀναστάσεως ἀδικηθεῖεν ἄν· (οὐδὲ γὰρ ἐμπόδιόν τι ταύταις πρὸς τὸ εἶναι, οὐ βλάβος, οὐχ ὕβρις ἡ τῶν ἀνθρώπων ἀνάστασις) οὐ μὴν οὐδὲ τῶν ἀλόγων ἡ φύσις, οὐδὲ τῶν ἀψύχων· οὐδὲ γὰρ ἔσται μετὰ τὴν ἀνάστασιν· περὶ δὲ τὸ μὴ ὄν, οὐδὲν ἄδικον. εἰ δὲ καὶ εἶναί τις ὑπόθοιτο διαπαντός, οὐκ ἂν ἀδικηθείη ταῦτα, τῶν ἀνθρωπίνων σωμάτων ἀνανεωθέντων. εἰ γὰρ ὑπείκοντα νῦν τῇ φύσει τῶν ἀνθρώπων, καὶ τῇ τούτων χρείαις ὄντων ἐνδεῶν ὑπὸ τὸν ζυγὸν ἠγμένα καὶ δουλείαν παντοίαν, οὐδὲν ἀδικεῖται· πολὺ μᾶλλον, ἀφθάρτων καὶ ἀνενδεῶν γινομένων καὶ μηκέτι δεομένων τῆς

---

lectionem Nannius in sua interpretatione secutus est.

τούτων

poſſibili habendum non eſſe. Imo neque id à divina voluntate abhorrere. Quod enim ille non vult, ideo non vult, vel quod injuſtum ſit, vel quod indignum ſit. Porro iſta injuſtitia vel deprehenditur circa illum qui reſurgit, vel circa alium extra ipſum. Ceterum quod nemini omnium quæ foris & extra ipſos reſurgentes ſunt, & in rerum natura inveniuntur, injuria fiat, manifeſta res eſt. Non enim intellectuales creaturæ ex hominum reſurrectione injuriam acceperint. Nihil enim inde illorum eſſentia impeditur: neque hominum reſurrectio illis aut contumeliam aut damnum adfert. Ut quoque ne irrationalibus quidem aut inanimatis irrogare videtur: non enim illa poſt reſurrectionem ſupererunt. Jam vero circa illud quod non eſt, nulla injuria eſſe poteſt. Quod ſi tum ea exiſtere fingas, ne ſic quidem ullam injuriam ſenſerint ex hominum reſurrectione. Si enim nunc quum cedant hominum naturæ, & ad eorum adhuc miſeriæ obnoxiorum uſum ſub jugum atque in omnem ſervitutem adigantur, nullam tamen injuriam patiuntur: multo minus, hominibus incorruptibilibus effectis, & extra omnem inopiam & miſeri-

am constitutis, quum ipsa liberata fuerint ab omni servitute, injuriam patientur. Neque enim si loquendi facultate instructa essent, incusarent rerum opificem, quasi præter æquum, infra hominum sortem collocati essent, eo quod in ejusdem resurrectionis participatum admitterentur. Quorum enim natura æqualis non est, istis neque eundem finem & honorem qui justus est admetitur: maxime quum præter hanc rationem brutis illis & inanimatis nullus sit justitiæ sensus, ac ideo nulla injustitiæ indignatio. Ceterum ne illud quidem dici potest, quod circa ipsum hominem ex resurrectione aliqua injuria deprehendatur. Hic enim ut ex anima & corpore componitur, ita in neutram partem vel in corpus vel in animam injuriam accipit: neque sapiens animam injuriam pati dicet, ideo quod hoc modo non eam rationem vitæ retineat in qua jam in præsentia agit. Si enim nunc in corruptibili & in patibili corpore habitans, nulla injuria afficitur: multo minus in incorruptibili & in impatibili habitans, injuria afficietur. Imo neque corpus injuriam sentit. Si enim nunc ipsum corruptibile incorruptibilis animæ

τούτων χρείας, ἐλευθερωθέντα δὲ πάσης δουλείας, οὐκ ἀδικηθήσεται. οὐδὲ γὰρ εἰ φωνῆς μετεῖχεν, ᾐτιάσαντο ἂν τὸν δημιουργὸν ὡς παρὰ τὸ δίκαιον ἐλαττούμενα τῶν ἀνθρώπων, ὅτι μὴ τῆς αὐτῆς τούτοις τετύχηκεν ἀναστάσεως. ὧν γὰρ ἡ φύσις οὐκ ἴση, τούτοις οὐδὲ τὸ τέλος ἴσον ὁ δίκαιος ἐπιμετρεῖ. χωρὶς δὲ τούτων, παρ' οἷς οὐδὲ τοῦ δικαίου μία κρίσις, οὐδὲ μέμψις ἀδικίας. οὐ μὴν οὐδὲ ἐκεῖνο φῆσαι δυνατὸν, ὡς περὶ αὐτὸν θεωρεῖταί τις ἀδικία τὸν ἀνιστάμενον ἄνθρωπον. ἔστι μὲν γὰρ σύνθετος ἐκ ψυχῆς καὶ σώματος· οὔτε δὲ εἰς ψυχὴν, οὔτε εἰς σῶμα δέχεται τὴν ἀδικίαν. οὔτε γὰρ τὴν ψυχὴν ἀδικεῖσθαι φήσει τις σωφρονῶν, ὅτι λήσεταί γε ταύτῃ συνεκβάλλων καὶ τὴν παροῦσαν ζωήν. εἰ γὰρ νῦν ἐν φθαρτῷ καὶ παθητῷ κατοικοῦσα σώματι, μηδὲν ἠδίκηται, πολὺ μᾶλλον, ἀφθάρτῳ καὶ ἀπαθεῖ συζῶσα, οὐκ ἀδικηθήσεται. ἀλλ' οὐδὲ τὸ σῶμα ἀδικεῖταί τι. εἰ γὰρ νῦν φθαρτὸν ἀφθάρτῳ συνὸν [1], οὐδ' ἀφθάρτῳ [2] ἀδικηθήσεται. οὐ μὴν οὐδ' ἐκεῖνο φαίη

1. Intellige μηδὲν ἠδίκηται.
2. Intellige συνόν.

τίς ἂν, ὡς ἀνάξιον ἔργον πως θεοῦ, τὸ διαλυθὲν ἀναστῆσαι σῶμα καὶ συναγαγεῖν. εἰ γὰρ τὸ χεῖρον οὐκ ἀνάξιον, τοῦτ' ἔστι τὸ φθαρτὸν ποιῆσαι σῶμα καὶ παθητόν· πολὺ μᾶλλον, τὸ κρεῖττον οὐκ ἀνάξιον, ὅπερ ἐστὶν ἄφθαρτον καὶ ἀπαθές. εἰ δὲ διὰ τῶν κατὰ[1] φύσιν πρώτων καὶ τῶν τούτοις ἑπομένων δέδεικται τῶν ἐξητασμένων ἕκαστον, εὔδηλον ὅτι καὶ δυνατὸν καὶ βουλητὸν καὶ ἄξιον τοῦ δημιουργήσαντος ἔργον ἡ τῶν διαλυθέντων σωμάτων ἀνάστασις. διὰ γὰρ τούτων ἐδείχθη ψεῦδος τὸ τούτοις ἀντικείμενον, καὶ τὸ τῶν ἀπιστούντων παράλογον. τί γὰρ δεῖ λέγειν περὶ τῆς ἑκάστου τῶν πρὸς ἕκαστον ἀντιστροφῆς, καὶ τῆς πρὸς ἄλληλα συναφείας; εἴγε δεῖ καὶ συνάφειαν εἰπεῖν, ὡς ἑτερότητί τινι κεχωρισμένων· οὐχὶ δὲ καὶ τὸ δυνατὸν λέγειν βουλητὸν, καὶ τὸ τῷ θεῷ βουλητὸν, πάντως εἶναι δυνατὸν, καὶ κατὰ τὴν τοῦ βουληθέντος ἀξίαν. καὶ ὅτι μὲν ἕτερος ὁ περὶ τῆς ἀληθείας λόγος, ἕτερος δὲ ὁ ὑπὲρ τῆς ἀληθείας,

1. Adde, Et *secundum rationem ejus quod est volitum.*

εἴρηται

nimæ contubernio conjunctum, nullam inde injuriam accipit: multo minus tum accipiet, quum utrinque ambo incorruptibilia erunt. Porro neque illud dici potest, corpora resoluta in integrum restitui, rem esse indignam Deo. Si enim quod deterius est, mortale scilicet & patibile corpus condere, non indignum Deo visum est; multo minus indignum erit, quod præstantius est & immortalitate & impatibilitate donatum, in rerum naturam producere. Quod si per ea quæ prima ex natura sunt, eaque quæ his consequio adhærent, singula quæ in quæstione erant, explicata & ostensa sunt, satis manifestum est, restitutionem corporum extinctorum talem esse quæ digna sit Deo, & quam velit & possit efficere. Per hæc enim demonstrata est falsitas contrariorum, & absurditas non credentium. Quid enim opus est dicere de singulorum & ad singula reciproca similitudine, mutuaque inter ipsa cohærentia & congruitate: quasi ex aliqua diversitate discreta essent, ac non liceat dicere, id quod possibile sit, idem esse volitum: & quod Deo volitum, idem omnino esse possibile. [1] Ceterum quod alia est disputatio de

veritate, alia pro veritate, in ſuperioribus utcunque dictum eſt: necnon quibus diſcriminibus altera ab altera differat, & quando & apud quos utilitatem habeat. Nihil tamen impedierit, communis ſecuritatis cauſa, ſerieique gratia, quo dicta cum dicendis cohæreant, ab illis ipſis iiſque affinibus denuo exordium facere: decet enim hoc ſecundum naturam principatum habere, illud autem, ſatellitis vice, principi ſuo viam facere, & prævio curſu omnia impedimenta & prærupta tollere. Nam diſputatio de veritate quum neceſſaria ſit omnibus hominibus, & ad tutelam & ad ſalutem princeps conſiſtit, & natura & ordine & utilitate: natura quidem, ut quæ rerum cognitionem adjuvet: ordine, ut quæ in iſtis & ſimul cum iſtis exiſtat, quorum indicium & notitiam promit: utilitate vero, quia cognoſcentibus & addiſcentibus ipſam, tutelam ſimul & ſalutem conciliet. Diſputatio autem pro veritate, natura & potentia inferior eſt: minus enim eſt falſitatem redarguere, quam veritatem ſtabilire. Ordine quoque poſterior eſt. Nam contra falſa opinantes vim ſuam exercet: falſa autem opinio, ex ſecunda quaſi

εἴρηται διὰ τὴν προειλαβόντων μετρίως, οἷς τε διενήνοχεν ἑκάτερος καί ποτε καὶ πρός τινας ἔχει τὸ χρήσιμον· κωλύει δὲ ἴσως οὐδὲν, τῆς τε κοινῆς ἀσφαλείας ἕνεκεν καὶ τῆς τῶν εἰρημένων πρὸς τὰ λειπόμενα συναφείας ἀπ' αὐτῶν τούτων καὶ τῶν τούτοις προσηκόντων πάλιν ποιήσασθαι τὴν ἀρχήν. προσήκει δὲ τῷ μὲν τὸ πρωτεύειν κατὰ φύσιν, τῷ δὲ δορυφορεῖν τὸ πρῶτον, ὁδοποιεῖν τε, καὶ προανείργειν πᾶν ὁπόσον ἐμποδὼν καὶ πρόσαντες. ὁ μὲν γὰρ περὶ τῆς ἀληθείας λόγος, ἀναγκαῖος ὢν πᾶσιν ἀνθρώποις πρὸς ἀσφάλειαν καὶ σωτηρίαν, πρωτοστατεῖ καὶ τῇ φύσει, καὶ τῇ τάξει, καὶ τῇ χρείᾳ. τῇ φύσει μὲν, ὡς τὴν τῶν πραγμάτων γνῶσιν παρεχόμενος· τῇ τάξει δὲ, ὡς ἐν τούτοις καὶ ἅμα τούτοις ὑπάρχων, ὧν γίνεται μηνυτής· τῇ χρείᾳ δὲ, ὡς τῆς ἀσφαλείας καὶ τῆς σωτηρίας τοῖς γινώσκουσι γινόμενος πρόξενος. ὁ δ' ὑπὲρ τῆς ἀληθείας, φύσει τε καὶ δυνάμει καταδεέστερος. ἔλαττον γὰρ τὸ ψεῦδος ἐλέγχειν τοῦ τὴν ἀλήθειαν κρατύνειν, καὶ τάξει δεύτερον· κατὰ γὰρ τῶν ψευδοδοξούντων ἔχει τὴν ἰσχύν· ψευδοδοξία δὲ ἐξ ἐπισπορᾶς

ἐπισπορᾶς

παρορᾶς ἐπεφύη καὶ [a] παραφθορᾶς. ἀλλὰ δὴ καὶ τούτων οὕτως ἐχόντων, προτάττεται πολλάκις καὶ γίνεταί ποτε χρειωδέστερος, ὡς ἀναιρῶν καὶ προκαθαίρων τὴν ἐνοχλοῦσάν τισιν ἀπιστίαν καὶ τοῖς ἄρτι προσιοῦσι τὴν ἀμφιβολίαν ἢ ψευδοδοξίαν. καὶ πρὸς ἓν μὲν ἑκάτερος ἀναφέρεται τέλος (εἰς γὰρ τὴν εὐσέβειαν ἔχει τὴν ἀναφορὰν ὅ, τε τὸ ψεῦδος ἐλέγχων, καὶ ὁ τὴν ἀλήθειαν κρατύνων) οὐ μὴν καὶ καθάπαξ ἕν εἰσιν, ἀλλ' ὁ μὲν, ἀναγκαῖος, ὡς ἔφην, πᾶσι τοῖς πιστεύουσι, καὶ τοῖς τῆς ἀληθείας καὶ τῆς ἰδίας σωτηρίας φροντίζουσιν· ὁ δ' ἔστιν ὅτε καί τισι καὶ πρός τινας γίνεται χρειωδέστερος. καὶ ταῦτα μὲν ἡμῖν κεφαλαιωδῶς προειρήσθω πρὸς ὑπόμνησιν τῶν ἤδη λεχθέντων. ἰτέον δὲ ἐπὶ τὸ προκείμενον, καὶ δεικτέον ἀληθῆ τὸν περὶ τῆς ἀναστάσεως λόγον, ἀπό τε τῆς αἰτίας αὐτῆς καθ' ἣν καὶ δι' ἣν ὁ πρῶτος γέγονεν ἄνθρωπος, οἵ τε μετ' ἐκεῖνον (εἰ καὶ μὴ κατὰ τὸν ὅμοιον γεγόνασι τρόπον) ἀπό τε τῆς κοινῆς πάντων ἀνθρώπων, ὡς ἀνθρώπων, φύσεως.

---

a. Cod. vet. habet παρὰ φθορᾶς.

quasi semente & corruptione agnascitur. Verum quanquam ambo se ita habeant, præponitur subinde illa; & utilior existit, ut quæ tollat & præpurget obturbantem incredulitatem, vel recentem dubitationem, vel falsam opinionem. Ad unum tamen ambæ referunt finem: tendunt enim ad pietatem, tum ista quæ falsum revincit, tum illa quæ veritatem corroborat: non tamen omnino idem sunt. Nam ista necessaria est, ut dixi, omnibus credentibus, iisque qui veritatis propriæque salutis curam gerunt: illa nonnunquam quibusdam in rebus, & apud quosdam fructuosior est. Hæc quidem summatim dicta sunt, ad memoriam superiorum verborum servandam. Nunc autem ad propositum redeundum, ostendendumque vera esse quæ de resurrectione dicuntur, idque ex ea causa secundum quam & per quam primus homo ejusque posteri nati sunt, etsi non eodem modo creati sunt. Deinde ex communi hominum omnium, quatenus homines sunt, natura. Deinde ex conditoris super illos judicio, quod de illis faciet prout vixerint: quod judicium nemo dubitaverit quin justissimum futu-

futurum ſit. Cauſæ autem ratio in hoc conſiſtit ut exploremus utrum temere & fruſtra homo an ob aliquam rationem factus ſit. Si ob aliquam rationem, utrum ut viveret perſeveraretque in ſua ad quam ex natura genitus erat vita, an ut aliquem uſum alicui de ſe præſtaret. Quod ſi ob uſum aliquem creatus ſit, rurſus an ob conditoris utilitatem, an alterius rei quæ ad conditorem pertinet, eique majori curæ eſt quam homo. Hic quidem etiam vulgari & ſimplici indagatione in rebus contemplandis utentes, invenimus quod quicunque mentis compos eſt, & rationali judicio ad agendum movetur, nihil eorum quæ ex propoſito deſtinat, temere facit: aut enim id inſtituit ſui ipſius gratia, aut alterius cui ſtudet, aut ipſius rei quam fecit amore & propenſitate naturali inductus. Veluti (adhibebimus enim ſimilitudinem, ut propoſitum noſtrum evidens fiat) ædificat homo domum, idque ob ſuum ipſius uſum: conſtruit item bobus & camelis aliiſque animalibus quorum ope indiget, congruens unicuique horum tectum: non ad ſuum uſum, ut videtur, quanquam extremus

ἔτι δὲ ἀπὸ τῆς τοῦ ποιήσαντος ἐπὶ τούτοις κρίσεως, καθ' ὅσον ἕκαστος ἔζησε χρόνον, καὶ καθ' οὓς ἐπολιτεύσατο νόμους· ἣν οὐκ ἄν τις ἀμφισβητήσειεν εἶναι δικαίαν. ἔστι δὲ ὁ μὲν ἀπὸ τῆς αἰτίας λόγος, ἐὰν ἐπισκοπῶμεν πότερον ἁπλῶς καὶ μάτην γέγονεν ἄνθρωπος, ἢ τινὸς ἕνεκεν· εἰ δέ τινος ἕνεκεν, πότερον ἐπὶ τοῦτο γενόμενον αὐτὸ τὸ ζῆν καὶ διαμένειν καθ' ἣν ἐγένετο φύσιν· ἢ διὰ χρείαν τινός. εἰ δὲ κατὰ χρείαν, ἤτοι τὴν αὐτοῦ τοῦ ποιήσαντος, ἢ ἄλλου τινὸς τῶν αὐτῷ προσηκόντων καὶ πλείονος φροντίδος ἠξιωμένων. ὃ δὴ καὶ κοινότερον σκοποῦντες, εὑρίσκομεν ὅτι πᾶς εὖ φρονῶν, καὶ λογικῇ κρίσει πρὸς τὸ ποιεῖν τι κινούμενος, οὐδὲν ὧν κατὰ πρόθεσιν ἐνεργεῖ, ποιεῖ μάτην· ἀλλ' ἤτοι τῆς ἰδίας ἕνεκεν χρήσεως, ἢ διὰ χρείαν ἄλλου τινὸς, ὧν πεφρόντικεν· ἢ δι' αὐτὸ τὸ γινόμενον, ὁλκῇ τινι φυσικῇ καὶ στοργῇ πρὸς τὴν αὐτοῦ γένεσιν κινούμενος. οἷον, (λεγέσθω γὰρ δι' εἰκόνος τινὸς, ἵνα σαφὲς γένηται τὸ προκείμενον) ἄνθρωπος ποιεῖ μὲν οἶκον διὰ τὴν ἰδίαν χρείαν, ποιεῖ δὲ βουσὶ καὶ καμήλοις ἢ τοῖς ἄλλοις ζώοις ὧν ἐστιν ἐνδεὴς, τὴν ἑκάστῳ τούτων ἁρμόζουσαν σκέπην· οὐκ ἰδίας ἕνεκεν

χρήσεως,

χρήσεως, κατὰ τὸ φαινόμενον, ἀλλὰ κατὰ μὲν τὸ τέλος, διὰ τοῦτο, κατὰ δὲ τὸ προσεχὲς, διὰ τὴν τούτων ὧν πεφρόντικεν ἐπιμέλειαν. ποιεῖται δὲ καὶ παῖδας οὔτε διὰ χρείαν ἰδίαν, οὔτε δι' ἕτερόν τι τῶν αὐτῷ προσηκόντων, ἀλλ' ἐπὶ τῷ εἶναί τε καὶ διαμένειν καθ' ὅσον οἷόν τε, τοὺς ὑπ' αὐτοῦ γεννωμένους, τῇ τῶν παίδων καὶ τῶν ἐγγόνων διαδοχῇ τὴν ἑαυτοῦ τελευτὴν παραμυθούμενος, καὶ ταύτῃ τὸ θνητὸν ἀπαθανατίζειν οἰόμενος. ἀλλὰ ταῦτα μὲν ὑπὸ τούτων· ὁ μέντοι θεὸς οὔτ' ἂν μάτην ἐποίησε τὸν ἄνθρωπον (ἔστι γὰρ σοφός· οὐδὲν δὲ σοφίας ἔργον, μάταιον) οὔτε διὰ χρείαν ἰδίαν· παντὸς γάρ ἐστιν ἀπροσδεής. τῷ δὲ μηδενὸς δεομένῳ τὸ παράπαν, οὐδὲν τῶν ὑπ' αὐτοῦ γενομένων συντελέσειεν ἂν εἰς χρείαν ἰδίαν. ἀλλ' οὐδὲ διά τινα τῶν ὑπ' αὐτοῦ γενομένων ἔργων ἐποίησε τὸν ἄνθρωπον. οὐδὲν γὰρ τῶν λόγῳ καὶ κρίσει χρωμένων, οὔτε τῶν μειζόνων οὔτε τῶν καταδεεστέρων, γέγονεν ἢ γίνεται πρὸς ἑτέρου χρείαν, ἀλλὰ διὰ τὴν ἰδίαν αὐτῶν τῶν γενομένων ζωήν τε καὶ διαμονήν. οὐδὲ γὰρ ὁ λόγος εὑρίσκει τινὰ χρείαν τῆς τῶν ἀνθρώπων γενέσεως αἰτίαν τῶν μὲν ἀθανάτων, ἀνενδεῶν ὄντων, καὶ μηδε-

mus finis ad ipsum referatur: sed secundum continuam & proximam causam, ad usum illorum quorum curam gerit. Liberos autem creat, non ob proprium suum usum, non ob usum alicujus suorum, sed ut sint & superstites maneant qui ab eo creati fuerint: quatenus liceat & possibile sit, suæ morti nepotum successione remedium adhibens, & hactenus sese credens mortalitatem exuere. Ceterum ista quidem ad istum modum ab illis fiunt. Deus vero nec hominem temere condiderit, quum sit sapiens (sapientis enim opus nullum temerarium) neque ob suum usum & necessitatem: nullius enim indiget. Quod autem omnino nullius indiget, nullum usum captat ex rebus à se creatis, neque ad gratiam ullius suorum operum hominem fecerit. Nihil enim eorum quod ratione & judicio utitur, sive id magnum sive parvum sit, creatum est, aut creabitur ad ulterius usum. Illa enim tantummodo creantur ad suam ipsorum vitam incolumitatemque. Neque ratio invenit aliquem alium usum cur homines gignantur, quandoquidem immortales extra omnem

indigentiam conſtituti ſint, nullamque opem ex hominibus ad tutelam ſuæ naturæ requirant, bruta omnia ſubjecta ſint, ſingulaque ſui uſum hominibus ad quem nata ſunt de ſe præbeant: non autem ex natura hominibus utantur. Fas enim neque eſt neque fuit, imperatricem & dominatricem creaturam dejicere ad uſum inferiorum, aut quod rationabile eſt, irrationalibus ad imperium inidoneis ſubjugare. Quamobrem ſi neque ſine cauſa, neque temere vel fruſtra creatus eſt homo (nihil enim, quantum ad Dei intentionem, inter opera ejus temerarium) neque item ob creatoris aut rerum conditoris utilitatem: ſatis liquet quod inſpectu primariæ & univerſalis rationis hominem Deus creaverit, ob ſeipſum ſuamque & bonitatem & ſapientiam, quam facile in omnibus creatis perſpicias. Quod ſi propinquiorem cohærentemque ipſis creatis hominibus cauſam explores, deprehendes ideo hominem natum eſſe ut viveret: non autem vita ejuſmodi, quæ pauliſper caleſceret, mox deinde in perpetuum extingueretur. Reptilibus enim, exiſtimo, volucribus item & natali-

bus

μηδεμιᾶς μηδαμῶς παρ' ἀνθρώπων συντελείας πρὸς τὸ εἶναι δεομένων· τῶν δὲ ἀλόγων, ἀρχομένων κατὰ φύσιν καὶ τὰς πρὸς ὃ πέφυκεν ἕκαστον χρείας ἀνθρώποις ἀποπληρούντων· ἀλλ' οὐ τῶν τούτοις χρῆσθαι πεφυκότων. θέμις γὰρ οὔτε ἦν οὔτε ἐστὶ, τὸ ἄρχον καὶ ἡγεμονοῦν ὑπάγειν εἰς χρῆσιν τοῖς ἐλάττοσιν, ἢ τὸ λογικὸν ὑποτάττειν ἀλόγοις, ἔστι πρὸς τὸ ἄρχειν ἀνεπιτηδείοις. οὐκοῦν εἰ μήτε ἀναιτίως καὶ μάτην γέγονεν ἄνθρωπος (οὐδὲν γὰρ τῶν ὑπὸ θεοῦ γινομένων, μάταιον, κατά γε τὴν τοῦ ποιήσαντος γνώμην) μήτε χρείας ἕνεκεν αὐτοῦ τοῦ ποιήσαντος, ἢ ἄλλου τινὸς τῶν ὑπὸ θεοῦ τῶν γινομένων ποιημάτων· εὔδηλον ὅτι κατὰ μὲν τὸν πρῶτον καὶ κοινότερον λόγον, δι' ἑαυτὸν, καὶ τὴν ἐπὶ πάσης τῆς δημιουργίας θεωρουμένην ἀγαθότητα καὶ σοφίαν ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον· κατὰ δὲ τὸν προσεχέστερον τοῖς γινομένοις λόγον, διὰ τὴν αὐτῶν τῶν γινομένων ζωὴν, οὐκ ἐπὶ μικρὸν ἐξαπτομένην, εἶτα παντελῶς συνεισβεννυμένην. ἑρπετοῖς γὰρ, οἶμαι, πτηνοῖς καὶ νηκτοῖς, ἢ καὶ κοινότερον εἰπεῖν, πᾶσι τοῖς ἀλόγοις τὴν

τοιαύτην ζωὴν ἀπένειμε θεός· τοῖς δὲ αὐτὸν ἐν ἑαυτοῖς ἀγαλματοφοροῦσι τὸν ποιητὴν, νοῦν τε συνεπιφερομένοις, καὶ λογικῆς κρίσεως μεμοιραμένοις, τὴν εἰς ἀεὶ διαμονὴν ἀπεκλήρωσεν ὁ ποιητὴς, ἵνα γινώσκοντες τὸν ἑαυτῶν ποιητὴν, καὶ τὴν τούτου δύναμίν τε καὶ σοφίαν, νόμῳ τε συνεπόμενοι καὶ δίκῃ, [1] τούτοις δὲ συνδιαιωνίζωσιν ἀπόνως οἷς τὴν προλαβοῦσαν ἐκράτυναν ζωὴν, καίπερ ἐν φθαρτοῖς καὶ γηΐνοις ὄντες σώμασιν. ὁπόσα μὲν γὰρ ἄλλου τοῦ χάριν γέγονε, παυσαμένων ἐκείνων ὧν ἕνεκεν γέγονε, παύσεται εἰκότως καὶ αὐτὰ τὰ γινόμενα τοῦ εἶναι, καὶ οὐκ ἂν διαμένοι μάτην (ὡς ἂν μηδεμίαν ἐν τοῖς ὑπὸ θεοῦ γινομένοις τοῦ ματαίου χώραν ἔχοντος.) τά γε μὴν δι' αὐτὸ τὸ εἶναι καὶ ζῆν καθὼς πέφυκε γινόμενα, ὡς αὐτῆς τῆς αἰτίας τῇ φύσει συνειλημμένης καὶ κατ' αὐτὸ μόνον τὸ εἶναι θεωρουμένης, οὐδεμίαν οὐδέποτε δέξαιτ' ἂν τὴν τὸ εἶναι παντελῶς ἀφανίζουσαν αἰτίαν· ταύτης δὲ ἐν τῷ εἶναι πάντοτε θεωρουμένης, δεῖ σώζεσθαι πάντως καὶ

1. Melius, τούτοις συνδιαιωνίζουσιν, omisso δέ.

τὸ

bus istiusmodi vitam attribuit Deus: illis autem qui illius imaginem in seipsis circunferunt, unaque cum ea mentem rerum creatricem possident, judiciisque rationis instructi sunt, perpetuam diuturnitatem assignavit conditor, ut suo creatore cognito, ejusque potentiam & sapientiam legibus justitiaque imitantes, una cum illis virtutibus feliciter in æternitate perennent, quibus superiorem vitam, quum adhuc in corruptibilibus & terrenis corporibus agerent, corroboraverunt. Quæ enim alterius gratia condita sunt, deficientibus illis quorum gratia condita sunt, merito & ipsa deficiunt, neque frustra permanserint. Quoniam non est in rebus à Deo creatis frustraneæ otiositati locus. Quæ vero ideo creata sunt ut sint & vivant, ipsâ hac causa cum natura eorum cohærente & implicita, quum ea solummodo id exigat & requirat ut sint, fieri non potest unquam in se ullam vim admittant qua prorsus extinguantur. Porro quum ista causa ex perpetua existendi ratione intelligatur, in eoque consistat, necessum est incolume manere illud animal quod ita natum fuerit, agereque & pati quæ

ipſius naturæ ſunt, ambabus illis rebus unde conſtat, quod ſuum eſt in medium conferentibus: ita ut anima exiſtat & permaneat æquabiliter in ſua in qua genita eſt natura. Eſt enim illa genita ut moderetur affectibus corporis, ac quicquid inciderit, decentibus judiciis æſtimet, & menſuris congruis demetiatur: corpus vero ſe moveat ad ea quæ ſibi naturalia ſunt, eaſque recipiat mutationes quæ illi à natura attributæ ſunt: & inter reliquas ſui evariationes, quæ illi in ætate, forma, magnitudine obveniunt, etiam reſurrectionem admittat. Reſurrectio enim ſpecies quædam evariationis, eaque extrema, necnon & illa immutatio in melius, quæ tum futura eſt in ſuperſtitum corporibus. De iſtis rebus tam certi quam de illis ſumus quæ jam contigerunt, perpenſaque noſtra ipſorum natura, & vitam iſtam indigam corruptibilemque non ægre ferimus, ut præſenti ſeculo congruam, & perpetuitatem ævi ſinceram à corruptione firmiſſime ſperamus: quam non ex hominum commentis effingimus, mendaci ſpe noſmetipſos lactantes, ſed minime vanæ locupletique teſti,

nimirum

τὸ γινόμενον ζῶον, ἐνδεῶν τε καὶ πάσχον ἃ πέφυκεν, ἑκατέρου τούτων ἐξ ὧν γέγονε τὰ παρ' ἑαυτοῦ συνεισφέροντος, καὶ τῆς μὲν ψυχῆς οὔσης τε καὶ διαμενούσης ὁμαλῶς ἐν ᾗ γέγονε φύσει, καὶ διαπονούσης ἃ πέφυκε (πέφυκε δὲ ταῖς τοῦ σώματος ἐπιστατεῖν ὁρμαῖς, καὶ τὸ προσπίπτον ἀεὶ τοῖς προσήκουσι κρίνειν καὶ μετρεῖν κριτηρίοις καὶ μέτροις) τοῦ δὲ σώματος κινουμένου κατὰ φύσιν πρὸς ἃ πέφυκε, καὶ τὰς ἀποκληρωθείσας αὐτῷ δεχομένου μεταβολάς, μετὰ δὲ τῶν ἄλλων τῶν κατὰ τὰς ἡλικίας, ἢ κατ' εἶδος, ἢ μέγεθος, τὴν ἀνάστασιν. εἶδος γάρ τι μεταβολῆς καὶ πάντων ὕστατον ἡ ἀνάστασις, ἥτε τῶν κατ' ἐκεῖνον τὸν χρόνον περιόντων ἔτι πρὸς τὸ κρεῖττον μεταβολή· ἐπὶ δὲ τούτοις τεθαῤῥηκότων, οὐ μεῖον ἢ τοῖς ἤδη γενομένοις. καὶ τὴν ἑαυτῶν ἐπισκοποῦντες φύσιν, τήν τε μετ' ἐνδείας καὶ φθορᾶς ζωὴν στέργομεν, ὡς τῷ παρόντι βίῳ προσήκουσαν, καὶ τὴν ἐν ἀφθαρσίᾳ διαμονὴν ἐλπίζομεν βεβαίως· ἣν οὐ παρ' ἀνθρώπων ἀναπλάττομεν μάτην, ψευδέσιν ἑαυτοὺς βουκολοῦντες ἐλπίσιν, ἀπλανεστάτῳ δὲ πεπιστεύκαμεν ἐχεγγύῳ,

τῇ

τῇ τοῦ δημιουργήσαντος ἡμᾶς γνώμῃ, καθ' ἣν ἐποίησεν ἄνθρωπον ἐκ ψυχῆς ἀθανάτου καὶ σώματος· νοῦν τε συγκατεσκεύασεν αὐτῷ καὶ νόμον ἔμφυτον ἐπὶ σωτηρίᾳ καὶ φυλακῇ τῶν παρ' αὐτοῦ διδομένων, ἔμφρονί τῷ βίῳ καὶ ζωῇ λογικῇ τῶν προσηκόντων· εὖ εἰδότες ὡς οὐκ ἂν τοιοῦτον κατεσκεύασε ζῶον, καὶ πᾶσι τοῖς πρὸς διαμονὴν ἐκόσμησεν, εἰ μὴ διαμένειν ἐβούλετο τὸ γενόμενον. εἰ τοίνυν ὁ τοῦδε τοῦ παντὸς δημιουργὸς ἐποίησεν ἄνθρωπον ἐπὶ τῷ ζωῆς ἔμφρονος μεταχεῖν, καὶ γενόμενον θεωρὸν τῆς τε μεγαλοπρεπείας αὐτοῦ καὶ τῆς ἐπὶ πᾶσι σοφίας, τῇ τούτων συνδιαμένειν ἀεὶ θεωρίᾳ, κατὰ τὴν ἐκείνου γνώμην, καὶ καθ' ἣν εἴληχε φύσιν· ἡ μὲν τῆς γενέσεως αἰτία πιστοῦται τὴν εἰς ἀεὶ διαμονήν· ἡ δὲ διαμονὴ τὴν ἀνάστασιν· ἧς χωρὶς οὐκ ἂν διαμείνειεν ἄνθρωπος. ἐκ δὲ τῶν εἰρημένων εὔδηλον ὡς τῇ τῆς γενέσεως αἰτίᾳ, καὶ τῇ γνώμῃ τοῦ ποιήσαντος, δείκνυται σαφῶς ἡ ἀνάστασις. τοιαύτης δὲ τῆς αἰτίας οὔσης καθ' ἣν εἰς τόνδε παρῆκται τὸν κόσμον ἄνθρωπος, ἀκόλουθον ἂν εἴη τὸ τούτοις

κατὰ

nimirum conditoris ipſius rationi & inſtituto, credimus, ſecundum quod hominem ex anima immortali & corpore fecit: quemque & mente & æquitate ingenita ad conſervationem & tutelam ſuorum donorum necnon eorum quæ prudenti vitæ & rationali animæ congruunt, inſtruxit. Unde ſatis exploratum habemus quod iſtiuſmodi animal non ita inſtituiſſet, neque omnibus ad perpetuam durabilitatem idoneis inſtruxiſſet, ſi non id quod ita creatum eſſet, perdurare voluiſſet. Si igitur univerſitatis opifex hominem fecit ut prudentia in agendo uteretur, & ut factus ſpectator magnificentiæ ſuæ, ejuſque quam ubique exhibuit ſapientiæ, una cum horum contemplatione permaneret, idque ſecundum propoſitum & voluntatem ipſius, naturamque quam illi ingeneravit: certe creationis cauſa confirmat credibilemque facit æternam perdurabilitatem, perdurabilitas vero reſurrectionem, ſine qua homo perdurare nequiverit. Ex prædictis vero manifeſtarium eſt, nimirum ex cauſa naſcendi creatoriſque voluntate reſurrectionem declarari. Quum igitur talis ſit cauſa cur in hunc mundum

dum homo introductus ſit, conſentaneum jam fuerit ut ea deſpiciamus quæ naturali ordine ſuperiores rationes conſequuntur. Sequitur enim, penſitato & excuſſo negotio, creandi cauſam creatorum hominum natura: creatorumque hominum naturam, creatoris ſuper ipſis juſtum judicium: & poſt iſta omnia, vivendi finis. Explicatis autem ſuperioribus, explicanda jam deinceps hominum natura, idque vel per veras opiniones, vel qualeſcunque tandem inquiſitiones. Demonſtratio illa minime erroneam dictis fidem adſtruit, quæ non forinſecus alicunde exordium habet, aut ex aliquorum opinionibus aut placitis cooritur: ſed quæ ex communi intellectu ſurgit, aut ex poſteriorum ad priora conſequio elicitur. Eſt enim illa vel de primis placitis, vel de iis quæ ſola admonitione naturalem intellectum commovent & expergefaciunt, vel quæ naturaliter primis in comitatu adhærent, naturaliſque conſequentiæ ſunt: oportetque hujus ordinis demonſtratorem declarare quid prima aut ſuperiora revera conſequatur: ut neque veritatem, neque ex veritate natam aſſertionem negligenter tractet,

κατὰ φύσιν ἢ καθ' εἱρμὸν ἑπόμενον δια-
σκέψασθαι λόγον. ἕπεται δὲ κατὰ τὴν ἐξέ-
τασιν, τῇ μὲν αἰτίᾳ τῆς γενέσεως, ἡ τῶν
γενηθέντων ἀνθρώπων φύσις· τῇ δὲ φύσει
τῶν γενομένων, ἡ τοῦ ποιήσαντος ἐπὶ τού-
τοις δικαία κρίσις· τούτοις τε πᾶσι τὸ τοῦ
βίου τέλος. ἐξητασμένων δὲ ἡμῖν τῶν
προτεταγμένων, ἐπισκεπτέον ἑξῆς τὴν τῶν
ἀνθρώπων φύσιν, ἢ διὰ τῶν τῆς ἀληθεί-
ας δογμάτων, ἢ τῶν ὁπωσοῦν εἰς ἐξέ-
τασιν προβαλλομένων. ἡ ἀπόδειξις τὴν ἀ-
πλανῆ τοῖς λεγομένοις ἐπιφέρουσα πίστιν,
ἥτις οὐκ ἔξωθέν ποθεν ἔχει τὴν ἀρχὴν,
οὐδ' ἐκ τῶν τισι δοκούντων ἢ δεδογμέ-
νων, ἀλλ' ἐκ τῆς κοινῆς καὶ φυσικῆς ἐν-
νοίας, ἢ τῆς πρὸς τὰ πρῶτα τῶν δευτέ-
ρων ἀκολουθίας. ἢ γὰρ περὶ τῶν πρώτων
ἐστὶ δογμάτων, καὶ δεῖ μόνης ὑπομνή-
σεως τῆς τὴν φυσικὴν ἀνακινούσης ἔννοιαν·
ἢ περὶ τῶν κατὰ φύσιν ἑπομένων τοῖς πρώ-
τοις, καὶ τῆς φυσικῆς ἀκολουθίας, καὶ
δεῖ τῆς ἐπὶ τούτοις τάξεως, δεικνύντας
τί τοῖς πρώτοις ἢ τοῖς προτεταγμένοις
ἀκολουθεῖ κατ' ἀλήθειαν, ἐπὶ τῷ μήτε
τῆς ἀληθείας ἢ τῆς κατ' αὐτὴν ἀσφα-
λείας ἀμελεῖν, μήτε τὰ τῇ φύσει τε-
τα γμένα

τεταγμένα καὶ διῃρημένα συγχεῖν, ἢ τὸν φυσικὸν εἱρμὸν διασπᾶν. [1] ὅθεν οἶμαι χρῆναι δίκαιον περὶ τῶν προκειμένων ἐσπουδακότας καὶ κρίνειν ἐμφρόνως θέλοντας, εἴτε γίνεται τῶν ἀνθρωπίνων σωμάτων ἀνάστασις, εἴτε μή, πρῶτον μὲν ἐπισκοπεῖν καλῶς τὴν πρὸς τὴν τοῦδε δεῖξιν συντελούντων τὴν δύναμιν, καὶ ποίαν ἕκαστον εἴληχε χώραν, καὶ τί μὲν τούτων πρῶτον, τί δὲ δεύτερον, τί δὲ τρίτον, τί δὲ ἐπὶ τούτοις ὕστατον. ταῦτα δὲ διαταξαμένους χρὴ πρώτην μὲν τάξαι τὴν αἰτίαν τῆς τῶν ἀνθρώπων γενέσεως, τουτέστι τὴν τοῦ δημιουργήσαντος γνώμην καθ' ἣν ἐποίησεν ἄνθρωπον· ταύτῃ δὲ προσφυῶς ἐπισυνάψαι τὴν τῶν γενομένων ἀνθρώπων φύσιν, οὐχ ὡς τῇ τάξει δευτερεύουσαν, διὰ δὲ τὸ μὴ δύνασθαι κατὰ ταὐτὸν ἀμφοτέρων γενέσθαι τὴν κρίσιν· κἂν ὅτι μάλιστα συνυπάρχωσιν ἀλλήλαις καὶ πρὸς τὸ προκείμενον τὴν ἴσην παρέχωνται δύναμιν. διὰ δὲ τούτων, ὡς πρώτων, καὶ τῶν ἐκ δημιουργίας ἐχόντων ἀρχὴν ἐναργῶς δεικνυμένης τῆς ἀναστάσεως, οὐδὲν ἧττον καὶ διὰ τῶν τῆς προνοίας λόγων ἐστὶ λαβεῖν τὴν περὶ ταύτης

---

1. H.Stephanus legendum putat ὅθεν, οἶμαι, ἦν δίκαιον.

tractet, neque ea quæ natura discreta sunt confundat, aut naturalem seriem dissipet. Quamobrem convenire arbitror, illos qui proposito argumento student, & prudenter dijudicare volunt an humanorum corporum resurrectio fiat, primum despicere recte vim eorum quæ hanc demonstrationem collatis quasi partibus conficiunt, & quem quæque locum obtineant, & quid inter ista primum vel secundum vel tertium sit, & quid denique ultimo ordine consistat. In istis digerendis proponi decet causam illam cur homo creatus sit, hoc est, ipsius creatoris mentem sive destinationem, ob quam hominem condendum suscepit: hinc rursus congruenter conferenda & coaptanda est hominum natura, ut quæ ordine secundam sedem obtineat: tum quia non simul de utraque judicari potest, tum quia ambæ coexistunt, & ad præsens institutum idem momentum adferunt, tum quia per istas principes primariasque atque ex ipso opificio Dei ortum trahentes evidenter resurrectio ostendatur: nihilominus tamen & per prudentiæ rationem hujus rei fidem colligere licet. Prudentiæ rationem

in hoc consistere dico, ut præmia suppliciaque ex justo judicio cuique hominum pro meritis attribuantur, finisque ipsorum vitæ respondeat. Multi enim qui de resurrectione disputationem susceperunt, solo eo quod tertium est omne negotium conficere tentaverunt, arbitrantes caussam resurgendi hominis propter judicium fieri. Illud autem perspicue falsum ostenditur, eo quod omnes quidem resurgant, non omnes tamen resurgentes judicentur. Si enim sola judicii justitia causa resurrectionis esset; necessum videlicet esset, eos qui nihil peccarunt, aut qui præclaras res in vita gesserunt, resurrectionis expertes esse: itidem & eos qui in prima ætate vitam finierunt: quod & ipsi quoque æquum censent, ut non ob judicium resurrectio fiat, secundum primariam rationem, sed ob destinationem propositumque conditoris conditique naturam. Ceterum cum sufficiat vel una causa gignendi hominis, si inspiciatur, ad probandam resurrectionem, quæ naturali ductu rationum corpora dissoluta consequitur: æquum tamen fortasse fuerit nihil eorum refugere quæ proposuimus, &
cohærenti

πίστιν· λέγω δὲ διὰ τῆς ἑκάστῳ τῶν ἀνθρώπων ὀφειλομένης κατὰ δικαίαν κρίσιν τιμῆς ἢ δίκης, καὶ τοῦ κατὰ τὸν ἀνθρώπινον βίον τέλους. πολλοὶ γὰρ τὸν τῆς ἀναστάσεως λόγον διαλαμβάνοντες, τῷ τρίτῳ μόνῳ τὴν πᾶσαν ἐπήρεισαν αἰτίαν, νομίσαντες τὴν αἰτίαν γίνεσθαι διὰ τὴν κρίσιν. τοῦτο δὲ περιφανῶς δείκνυται ψεῦδος ἐκ τοῦ πάντας μὲν ἀνίστασθαι τοὺς ἀποθνήσκοντας ἀνθρώπους, μὴ πάντας δὲ κρίνεσθαι τοὺς ἀναστάντας. εἰ γὰρ μόνον τὸ κατὰ τὴν κρίσιν δίκαιον, τῆς ἀναστάσεως ἦν αἴτιον, ἐχρῆν δήπου τοὺς μηδὲν ἡμαρτηκότας, ἢ κατορθώσαντας, μηδ' ἀνίστασθαι, τουτέστι τοὺς κομιδῇ νέους παῖδας· ἐξὸν[1] δὲ πάντας ἀνίστασθαι, τούς τε ἄλλους, καὶ δὴ καὶ τοὺς κατὰ τὴν πρώτην ἡλικίαν τελευτήσαντας, οἳ καὶ αὐτοὶ δικαιοῦσιν ὡς οὐ διὰ τὴν κρίσιν ἡ ἀνάστασις γίνεται κατὰ πρῶτον λόγον, ἀλλὰ διὰ τὴν τοῦ δημιουργήσαντος γνώμην, καὶ τὴν τῶν δημιουργηθέντων φύσιν. ἀρκούσης δὲ καὶ μόνης τῆς ἐπὶ τῇ γενέσει τῶν ἀνθρώπων θεωρουμένης αἰτίας, δεῖξαι τὴν ἀνάστασιν κατὰ φυσικὴν ἀκολουθίαν ἑπομένην τοῖς διαλυθεῖσι σώμασι· δίκαιον ἴσως πρὸς μηδὲν ἀποκνῆσαι τὴν προτεθέν-

1 Lege γε.

των, ἀκολούθως δὲ τοῖς εἰρημένοις, καὶ τὰς ἐξ ἑκάστου τῶν ἑπομένων ἀφορμὰς ὑποδεῖξαι τοῖς ἐξ αὐτῶν συνιδεῖν μὴ δυναμένοις· καὶ [1] πρός γε τῶν ἄλλων, τὴν τῶν γινομένων ἀνθρώπων φύσιν, ἐπὶ τὴν αὐτὴν ἄγουσαν ἔννοιαν, καὶ τὴν ἴσην παρέχουσαν περὶ τῆς ἀναστάσεως πίστιν. εἰ γὰρ πᾶσα κοινῶς ἡ τῶν ἀνθρώπων φύσις, ἐκ ψυχῆς ἀθανάτου, καὶ τοῦ κατὰ τὴν γένεσιν αὐτῇ συναρμοσθέντος σώματος ἔχει τὴν σύστασιν, καὶ μήτε τῇ φύσει τῆς ψυχῆς καθ' ἑαυτὴν, μήτε τῇ φύσει τοῦ σώματος χωρὶς ἀπεκλήρωσε θεὸς τὴν τοιάνδε γένεσιν, ἢ τὴν ζωὴν καὶ τὸν σύμπαντα βίον, ἀλλὰ τοῖς ἐκ τούτων γινομένοις ἀνθρώποις, ἵν' ἐξ ὧν γίνωνται καὶ ζῶσι διαβιώσαντες, εἰς ἕν τι καὶ κοινὸν καταλήξωσι τέλος· δεῖ πάντως ἑνὸς ὄντος ἐξ ἀμφοτέρων ζώου, καὶ τοῦ πάσχοντος ὁπόσα πάθη ψυχῆς, καὶ ὁπόσα τοῦ σώματος ἐνεργοῦντός τε καὶ πράττοντος, ὁπόσα τῆς αἰσθητικῆς ἢ τῆς λογικῆς δεῖται κρίσεως, πρὸς ἕν τι τέλος ἀναφέρεσθαι πάντα τὸν ἐκ τούτων εἱρμόν· ἵνα πάντα καὶ διὰ πάντων συντρέχῃ πρὸς μίαν ἁρμονίαν καὶ τὴν αὐτὴν συμπάθειαν ἀνθρώπου γένεσις, ἀνθρώπου

1. Lege πρό γε τῶν ἄλλων.

φύσις

cohærenti ordine per seriem vires efficaciasque rationum, deinde consequentium, explicare, in gratiam eorum hominum qui ista suopte ingenio perspicere nequeunt, & inter reliqua, hominum creatorum naturam exponere, quod ipsum ad ejusdem rei intelligentiam ducit, & tantundem fidei resurrectioni astruit. Si enim universa hominum natura ex anima immortali & corpore pro ipsius creatione attemperato consistit, neque animæ per se, neque corpori seorsum Deus istiusmodi aut ortum aut vitam attribuit, sed hominibus integris, qui istis ambobus componerentur: ut iisdem illis partibus quibus ortum vitamque acceperint, in vivendo utentes, ad eundem communemque finem & præmium pervenirent: necessarium omnino est, quum unum ex istis ambabus partibus animal conficiatur, quod & omnibus animi corporisque affectionibus imbuatur, pariterque & agat & faciat quæcunque vel sensuum vel rationis judicium requirunt, ad unum finem referri omnem istarum rerum seriem: ut omnia & per omnia tum ortus hominis, tum natura hominis, tum vita hominis,

tum quicquid egit vel passus est, tum finis naturæ congruens, ad unam harmoniam eandemque sympathiam decurrant. Si vero unus est concentus sive harmonia cujusque animalis, ac sympathia sive communio affectionum, tum earum quæ ex anima originem trahunt, tum earum quæ ex corpore proveniunt, unum in istis omnibus finem & præmium manere oportet. Unus autem revera finis erit, quum idem animal ex suis partibus constiterit: quod ipsius finis gratia futurum est: idem vero animal sinceriter extabit, quum eadem illa ei adfuerit, partesque illæ restitutæ fuerint, quibus ejus integritas absolvitur. Eadem porro secundum propriam unitionem erunt, quum dissoluta & dissipata, rursus coierint ad conflationem & compositionem ejusdem animalis. Ceterum eorundem hominum instauratio necessario consequi ostendit corporum defunctorum resurrectionem: sine enim illa eædem partes inter se naturaliter uniri nequeant, aut iidem homines restitui aut in pristinam naturam redire. Quod si mens & ratio datæ sunt hominibus ad judicationem non intelligibilium modo substantiarum, sed sapientiæ

quoque

φύσις ἀνθρώπου, ζωὴ ἀνθρώπου, πρᾶξις καὶ πάθη, καὶ βίος, καὶ τὸ τῇ φύσει προσῆκον τέλος. εἰ δὲ μία τίς ἐστιν ἁρμονία τοῦ ζώου παντὸς καὶ συμπάθεια, καὶ τῶν ἐκ ψυχῆς φυομένων, καὶ τῶν διὰ τοῦ σώματος ἐπιτελουμένων, ἓν εἶναι δεῖ καὶ τὸ ἐπὶ πᾶσι τούτοις τέλος. ἓν δὲ τέλος ἔσται κατ' ἀλήθειαν τοῦ αὐτοῦ ζώου κατὰ τὴν ἑαυτοῦ σύστασιν ὄντος, οὗπέρ ἐστι τέλος τὸ τέλος. τὸ αὐτὸ δὲ ζῶον ἔσται καθαρῶς, τῶν αὐτῶν ὄντων πάντων ἐξ ὧν ὡς μερῶν τὸ ζῶον· τὰ αὐτὰ δέ, κατὰ τὴν ἰδιάζουσαν ἕνωσιν ἔσται, τῶν διαλυθέντων, πάλιν ἑνωθέντων πρὸς τὴν τοῦ ζώου σύστασιν. ἡ δὲ τῶν αὐτῶν ἀνθρώπων σύστασις ἐξ ἀνάγκης ἑπομένην δείκνυσι τὴν τῶν νεκρωθέντων καὶ διαλυθέντων σωμάτων ἀνάστασιν. ταύτης γὰρ χωρίς, οὔτ' ἂν ἑνωθείη τὰ αὐτὰ μέρη κατὰ φύσιν ἀλλήλοις, οὔτ' ἂν συσταίη τῶν αὐτῶν ἀνθρώπων ἡ φύσις. εἰ δὲ καὶ νοῦς καὶ λόγος δέδοται τοῖς ἀνθρώποις πρὸς διάκρισιν νοητῶν, οὐκ οὐσιῶν μόνον, ἀλλὰ καὶ τῆς τοῦ δόντος ἀγαθότητος καὶ σοφίας καὶ δικαιοσύνης ἀνάγκη, διαμενόντων ὧν ἕνεκεν ἡ

λογικὴ

λογικὴ δέδοται κρίσις, καὶ αὐτὴν διαμένειν τὴν ἐπὶ τούτοις δοθεῖσαν κρίσιν. ταύτην δὲ διαμένειν ἀδύνατον, μὴ τῆς δεξαμένης αὐτὴν καὶ τὸ ἐν οἷς ἐστι διαμενούσης φύσεως. ὁ δὲ καὶ νοῦν καὶ λόγον δεξάμενος, ἐστιν ἄνθρωπος, οὐ ψυχὴ καθ' ἑαυτήν. ἄνθρωπον ἄρα δεῖ τὸν ἐξ ἀμφοτέρων ὄντα διαμένειν εἰς ἀεί. τοῦτον δὲ ἀδύνατον διαμένειν, μὴ ἀνιστάμενον. ἀναστάσεως γὰρ μὴ γινομένης, οὐκ ἂν ἡ τῶν ἀνθρώπων ὡς ἀνθρώπων διαμένοι φύσις· τῆς δὲ τῶν ἀνθρώπων φύσεως μὴ διαμενούσης, μάτην μὲν ἡ ψυχὴ συνήρμοσται τῇ τοῦ σώματος ἐνδείᾳ καὶ τοῖς τούτου πάθεσι· μάτην δὲ τὸ σῶμα πεπέδηται πρὸς τὸ τυγχάνειν ὧν ὀρέγεται, ταῖς τῆς ψυχῆς ἡνίαις ὑπεῖκον καὶ χαλιναγωγούμενον· μάταιος δὲ ὁ νοῦς, ματαία δὲ φρόνησις, καὶ δικαιοσύνης παρατήρησις, ἢ καὶ πάσης ἀρετῆς ἄσκησις, καὶ νόμων θέσις καὶ διάταξις, καὶ συνόλως εἰπεῖν, πᾶν ὅ, τι περ ἐν ἀνθρώποις καὶ δι' ἀνθρώπους καλὸν, μᾶλλον δὲ καὶ αὐτὴ τῶν ἀνθρώπων ἡ γένεσίς τε καὶ φύσις. εἰ δὲ πάντων καὶ πανταχόθεν ἀπελήλαται τῶν ἔργων

γων

quoq;ejus, juſtitiæ & bonitatis qui iſta dedit: neceſſum eſt, permanentibus iis quorum gratia rationalis judicatio data eſt, & ipſam quoque permanere judicationem quæ iſtis diſcernendis attributa eſt. Hanc autem permanere impoſſibile eſt, niſi ea natura permaneat quæ illam intra ſedem ſuam recipit & fovet: qui autem mentem & rationem intra ſe recipit, homo eſt, non anima per ſe. Hominem igitur oportet utroq; conſtantem in perpetuum permanere. Hunc autem impoſſibile eſt permanere niſi reſurgat: niſi enim intercedat reſurrectio, nequaquam permanſerit hominum natura: hominum porro natura non permanente, fruſtra anima attemperata fuit corporis indigentiæ, ejuſque accidentiis & affectionibus: fruſtra quoque corpus alligatum eſt, habenis animæ cedens & fræna patiens, ut quæ appetit adipiſcatur: fruſtra mens, fruſtra prudentia, fruſtra juſtitiæ obſervatio, & virtutis omnis exercitatio, legumque inſtitutio ac diſpoſitio: & ut ſummatim dicam, quicquid in hominibus, & per homines pulcrum eſt. Imo quod magis eſt, ipſa hominum procreatio & natura fruſtranea

nea eſt. Quod ſi undique ab omnibus operibus Dei & ab illius muneribus excluſa eſt vanitas & inutilitas; neceſſarium eſt omnino cum animæ immortalitate coæternam eſſe corporis perdurationem ſecundum ſuam naturam. Nemo autem admiretur quod vitam morte & corruptione interſciſſam, perdurationem appellamus, qui non immemores ſumus, non ſimplicem eſſe hujus vocacabuli rationem, neque unum eſſe perdurandi modum. Nec mirum, quum non una ſit rerum perdurantium natura. Unumquodque enim pro ſua natura perdurationem habet, nec inveneris in pure incorruptibilibus & immortalibus parem iſtiuſmodi perdurationem, eo quod ſubſtantiæ ſublimiorum non coæquentur cum inferioribus. Neque in hominibus par eſt iſtiuſmodi æqualem ſibi & ſine ulla varietate diſtinctam perdurationem requirere, ut in illis qui ab initio immortales creati ſint, & ſolo inſtituto creatoris ſine fine perdurent: ſed quod ſecundum animam, ex creatione habeant ſine ulla viciſſitudine variationis perdurationem: ſecundum corpus vero, ex immutatione immortalitatem capiant: hoc enim

γων τοῦ θεοῦ, καὶ τῶν ὑπ' ἐκείνου διδομένων δωρεῶν, τὸ μάταιον· δεῖ πάντως τῷ τῆς ψυχῆς ἀτελευτήτῳ συνδιαιωνίζειν τὴν τοῦ σώματος διαμονὴν κατὰ τὴν ἰδίαν φύσιν. ξενιζέσθω δὲ μηδεὶς, εἰ τὴν θανάτῳ καὶ φθορᾷ διακοπτομένην ζωὴν, ὀνομάζομεν διαμονὴν, [1] λογιζόμενοι ὡς οὐχ εἷς τοῦ προσρήματος ὁ λόγος, οὐχ ἓν τῆς διαμονῆς τὸ μέτρον· ὅτι μηδὲ τῶν διαμενόντων φύσις μία. εἴπερ γὰρ κατὰ τὴν οἰκείαν φύσιν ἕκαστον τῶν διαμενόντων ἔχει τὴν διαμονὴν, οὐκ ἐπὶ τῶν καθαρῶς ἀφθάρτων καὶ ἀθανάτων εὕροι τις ἂν ἰσάζουσαν τὴν διαμονὴν, τῷ μηδὲ τὰς οὐσίας τῶν κρειττόνων συνεξισοῦσθαι ταῖς καθ' ὑπόβασιν διαφερούσαις· οὔτ' ἐπὶ τῶν ἀνθρώπων τὴν ὁμαλὴν ἐκείνην τῆς ἀμετάβλητον ἐπιζητεῖν ἄξιον· ἅτε δὴ τῶν μὲν, ἐξ ἀρχῆς γενομένων ἀθανάτων, καὶ διαμενόντων μόνῃ τῇ γνώμῃ τοῦ ποιήσαντος ἀτελευτήτως· τῶν δὲ ἀνθρώπων, κατὰ μὲν τὴν ψυχὴν, ἀπὸ γενέσεως ἐχόντων τὴν ἀμετάβλητον διαμονὴν, κατὰ δὲ τὸ σῶμα, προσλαμβανόντων ἐκ μεταβολῆς τὴν ἀφθαρσίαν. ὅπερ ὁ τῆς ἀναστάσεως λόγος βούλεται. πρὸς ἣν ἀπο-

1. Rectius, λογιζόμενος.

βλέπον-

βλέποντες, τήν τε διάλυσιν τοῦ σώματος, ὡς ἑπομένην τῇ μετ' ἐνδείας καὶ φθορᾶς ζωῇ, περιμένομεν, καὶ μετὰ ταύτην, τὴν μετ' ἀφθαρσίας ἐλπίζομεν διαμονήν· οὔτε τῇ τῶν ἀλόγων τελευτῇ συνεξισοῦντες τὴν ἡμετέραν τελευτὴν οὔτε τῇ τῶν ἀθανάτων διαμονῇ τὴν τῶν ἀνθρώπων διαμονήν, ἵνα μὴ λάθωμεν ταύτῃ συνεξισοῦντες καὶ τὴν τῶν ἀνθρώπων φύσιν καὶ ζωὴν οἷς μὴ προσῆκεν. οὐ τοίνυν ἐπὶ τούτῳ δυσχεραίνειν ἄξιον, εἴ τις ἀνωμαλία θεωρεῖται [1] ἐπὶ τὴν τῶν ἀνθρώπων διαμονήν, οὐδ' ἐπειδὴ χωρισμὸς ψυχῆς ἀπὸ τῶν τοῦ σώματος μερῶν, καὶ μορίων διάλυσις τὴν συνεχῆ διακόπτει ζωήν, διὰ τοῦτ' ἀπογινώσκειν χρὴ τὴν ἀνάστασιν. οὐδὲ γὰρ ἐπειδὴ τὴν κατὰ συναίσθησιν ζωήν, διακόπτειν δοκοῦσιν αἱ κατὰ τὸν ὕπνον φυσικῶς ἐγγινόμεναι παρέσεις τῶν αἰσθήσεων καὶ τῶν φυσικῶν δυνάμεων, ἰσομέτροις χρόνου διαστήμασιν ὑπνούντων τῶν ἀνθρώπων, καὶ τρόπον τινὰ πάλιν ἀναβιωσκόντων, τὴν αὐτὴν παραιτούμεθα ζωὴν λέγειν. παρ' ἣν αἰτίαν, οἶμαι, τινὲς ἀδελφὸν τὸν θανάτου τὸν ὕπνον ὀνομάζουσιν, οὐχ ὡς ἐκ τῶν αὐτῶν προγόνων ἢ πατέρων φύντας γενεαλογοῦν-

1. Legendum, ἐπὶ τῆς τῶν ἀνθρώπων διαμονῆς.

enim resurrectionis ratio desiderat: eoque respicientes, dissolutionem corporis, ut sequentem hanc vitam inopem & corruptibilem, expectamus: & postmodum incorruptibilem speramus perdurationem: neque enim brutis nostram finem, neque cum immortalium perduratione nostram æquiparantes: ne per imprudentiam, hac in parte hominum naturam & vitam adæquemus quibus minime convenit. Non igitur stomachandum est, si qua inæqualitas spectetur circa hominum perdurationem: neque ubi segregatio animæ à corporeis membris, & partium dissolutio continuam intersecat vitam, desperare oportet de resurrectione. Neque enim postquam sensualem vitam interscindere videntur in quiete oborientes naturaliter sopitiones sensuum, necnon & naturalium virium, idque ad certa temporis intervalla dormientibus hominibus, & quodammodo reviviscentibus, illud ipsum recusamus vitam ducere. Qua de causa existimo nonnullos Somnum fratrem Mortis appellitare, non quod genus utriusque indicare velint, quasi ex iisdem majoribus & parentibus sint

nati: ſed quod ſimilia accidant ſopitis & defunctis, ratione quietis otioque ſenſuum, quum nihil intelligant de rebus præſentibus, aut quæ tum fiant, imo nec ſeipſos eſſe aut vivere ſentiant. Si igitur humanam vitam tanta inæqualitate à nativitate ipſa uſque ad diſſolutionem refertam, & interruptam omnibus illis quæ ſuperius enarravimus, non detrectamus vitam dicere: neque ultra diſſolutionem conſtitutam vitam, quæ una ſecum reſurrectionem inducit, deſperare debemus, tametſi aliquandiu interſcindatur ipſius animæ à corpore receſſu. Ipſa enim hominum natura primitus & ſecundum inſtitutum creatoris coattributam poſſidens inæqualitatem, inæqualem vitam & permanſionem habet, nunc ſomno, nunc morte interſciſſam, ſingulisque ætatum evariationibus; ita ut non appareant evidenter prima, quum poſteriora ſupervenerint. Quis enim crederet, niſi rerum experimentis doceretur, in ſimilari & molli ſemine tot & tantas vires eſſe repoſitas: aut quæ iſtinc ſurgit & compingitur, tantam molium ac magnitudinum diverſitatem latere: oſſium, inquam, nervo-

rum

τις, ἀλλ' ὡς τῶν ὁμοίων παθῶν τοῖς τε θανοῦσι καὶ τοῖς ὑπνοῦσιν ἐγγινομένων, ἕνεκά γε τῆς ἠρεμίας καὶ τοῦ μηδενὸς ἐπαισθάνεσθαι τῶν παρόντων, ἢ γινομένων, μᾶλλον δὲ μηδὲ τοῦ εἶναι καὶ τῆς ἰδίας ζωῆς. εἴπερ οὖν τὴν τῶν ἀνθρώπων ζωὴν τοσαύτης γέμουσαν ἀνωμαλίας ἀπὸ γενέσεως μέχρι διαλύσεως, καὶ διακοπτομένην πᾶσιν οἷς προείπομεν, οὐ παραιτούμεθα τὴν αὐτὴν λέγειν ζωήν· οὐδὲ τὴν ἐπέκεινα τῆς διαλύσεως ζωὴν, ἥτις ἑαυτῇ συνεισάγει τὴν ἀνάστασιν, ἀπογινώσκειν ὀφείλομεν, κἂν ἐπὶ ποσὸν διακόπτηται τῷ χωρισμῷ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος. αὕτη γὰρ τῶν ἀνθρώπων ἡ φύσις ἄνωθεν καὶ κατὰ γνώμην τοῦ ποιήσαντος συγκεκληρωμένην ἔχουσα τὴν ἀνωμαλίαν, ἀνώμαλον ἔχει τὴν ζωὴν καὶ τὴν διαμονὴν, ποτὲ μὲν ὕπνῳ, ποτὲ δὲ θανάτῳ διακοπτομένην, καὶ ταῖς καθ' ἑκάστην ἡλικίαν μεταβολαῖς, οὐκ ἐμφαινομένων ἐναργῶς τοῖς πρώτοις τῶν ὕστερον ἐπιγινομένων. ἢ τίς ἂν ἐπίστευσεν, μὴ τῇ πείρᾳ δεδιδαγμένος, ἐν ὁμοιομερεῖ καὶ διαπλάστῳ τῷ σπέρματι τοσούτων καὶ τηλικούτων ἀποκεῖσθαι δυνάμεων, ἢ τῶν ταύτῃ ἐπισυνισταμένων καὶ πηγνυμένων ὄγκων διαφορὰν,

ὀστέων φημὶ, καὶ νεύρων καὶ χόνδρων, ἔτι δὲ καὶ μυῶν, καὶ σαρκῶν, καὶ σπλάγχνων, καὶ τῶν λοιπῶν τοῦ σώματος μερῶν. οὔτε γὰρ ἐν ὑγροῖς ἔτι τοῖς σπέρμασι τούτων ἐστὶν ἰδεῖν οὐδὲν, οὔτε μὴν τοῖς νηπίοις ἐμφαίνεταί τι τῶν τοῖς τελείοις ἐπιγινομένων· ἢ τῇ τῶν τελείων ἡλικίᾳ τὰ τῶν παρηβηκότων, ἢ τούτοις τὰ τῶν γεγηρακότων. ἀλλὰ δὴ καίτοι τῶν εἰρημένων τινῶν μὲν οὐδ' ὅλως, τινῶν δὲ ἀμυδρῶς ἐμφαινόντων τὴν φυσικὴν ἀκολουθίαν, καὶ τὰς τῇ φύσει τῶν ἀνθρώπων ἐπιγινομένας μεταβολὰς, ὅμως ἴσασιν ὅσοι μὴ τυφλώττουσιν ὑπὸ κακίας ἢ ῥᾳθυμίας περὶ τὴν τούτων κρίσιν, ὅτι δεῖ πρῶτον μὲν γενέσθαι τῶν σπερμάτων καταβολὴν, διαρθρωθέντων δὲ τούτων καθ' ἕκαστον μέρος καὶ μόριον, καὶ προελθόντων εἰς φῶς τῶν κυηθέντων, ἐπιγίνεται μὲν ἡ κατὰ τὴν πρώτην ἡλικίαν αὔξησις, ἥ τε κατ' αὔξησιν τελείωσις, τελειωθέντων δὲ ὕφεσις τῶν φυσικῶν δυνάμεων μέχρι γήρως· εἶτα πεπονηκότων τῶν σωμάτων ἡ διάλυσις. ὥσπερ οὖν ἐπὶ τούτῳ οὔτε τοῦ σπέρματος ἐγγεγραμμένην ἔχοντος τὴν τῶν ἀνθρώπων ζωὴν, ἢ μορφὴν, οὔτε τῆς ζωῆς τὴν εἰς τὰς

πρώτας

rum & cartilaginum, itidem & musculorum, & carnium, & viscerum, reliquarumque corporis partium? Neque enim in liquidis adhuc seminibus quicquam tale videas: neque in infantulis apparent quæ adolescentibus accrescunt: aut in adolescentia, ea quæ virilis ætas possidet, eminent: aut rursus in virili ætate, quæ senectus habet. Ceterum etsi ex supradictis quædam nullo modo, quædam obscuriter naturalem vicissitudinem hominibusque supervenientes varietates indicant; sciunt tamen nihilominus qui malitia aut ignavia occæcati non sunt, quid de istis rebus judicandum sit. Primum enim requiritur ut semina spargantur: ea ubi in membra & articulos distincta fuerint, ac fœtus jam effecti in lucem prodierint, accipiunt in prima ætate proceritatem: post proceritatem, totius corporis absolutam perfectionem: postmodum succedit naturalium virium declinatio, quæ se usque ad extremum senium extendit: tum demum defectis corporibus dissolutio supervenit. Quemadmodum igitur in hoc negotio neque semen ulla imagine aut similitudine hominis vel vitam vel formam ostendit, neque

vita dissolutionem illam præjudicat, qua se compago in prima elementa dispersura est: series tamen ductusque naturalium eventuum fidem conciliat iis quæ pro sua apparentia & vultu nullam fidem admittere videntur: ita quoque multo magis ratio indagine naturalis consequentiæ veritatem investigans, resurrectionem corroborat, quæ multo certior est quam experientia, ad comprobationem eorum dictorum quibus paulo ante fidem resurrectioni conati sumus astruere: idque ideo quia omnes congeneres sumus, ut eodem exordio nati. Exordium enim nobis ex primorum hominum procreatione, quos Deus condidit. Sed alii ex ipso unde nati sunt exordio ad fidem corroborantur, alii ducem naturam hominumque vitam sequentes, ex divina adversus nos providentia fidem capiunt. Causa enim secundum quam & ob quam nati sunt homines, conjuncta naturæ hominum, ex opificio conditi hominis vim suam obtinet. Ceterum justitiæ ratio, secundum quam judicabit Deus homines vel bonæ vel malæ vitæ, ex horum fine vires trahit: inde enim nascuntur; pendet tamen magis

πρώτας ἀρχὰς διάλυσιν, ὁ τῶν φυσικῶς γινομένων εἱρμὸς παρέχει τὴν πίστιν τοῖς οὐκ ἐξ αὐτῶν τῶν φαινομένων ἔχουσι τὸ πιστὸν, πολὺ μᾶλλον ὁ λόγος ἐκ τῆς φυσικῆς ἀκολουθίας ἀνιχνεύων τὴν ἀλήθειαν, πιστοῦται τὴν ἀνάστασιν, ἀσφαλέστερος ὢν, καὶ κρεῖττων τῆς πείρας πρὸς πίστωσιν ἀληθείας. τῶν πρώτων ἡμῖν εἰς ἐξέτασιν προτεθέντων λόγων, καὶ τὴν ἀνάστασιν πιστουμένων, ὅτι πάντες μέν εἰσιν ὁμογενεῖς, ὡς ἐκ τῆς αὐτῆς φύντες ἀρχῆς (ἀρχὴ γὰρ αὐτοῖς ἡ τῶν πρώτων ἀνθρώπων ἐκ δημιουργίας γένεσις,) ἀλλ' οἱ μὲν ἐξ αὐτῆς κρατύνονται τῆς πρώτης ἀρχῆς ἐξ ἧσπερ ἔφυσαν, οἱ δὲ, παρεπόμενοι τῇ τε φύσει καὶ τῷ βίῳ τῶν ἀνθρώπων, ἐκ τῆς τοῦ θεοῦ περὶ ἡμᾶς προνοίας λαμβάνουσι τὴν πίστιν. ἡ μὲν γὰρ αἰτία καθ' ἣν καὶ δι' ἣν γεγόνασιν ἄνθρωποι, συνεζευγμένη τῇ φύσει τῶν ἀνθρώπων, ἐκ δημιουργίας ἔχει τὴν ἰσχύν· ὁ δὲ τῆς δικαιοσύνης λόγος, καθ' ὃν κρίνει θεὸς τοὺς εὖ ἢ κακῶς βεβιωκότας ἀνθρώπους, ἐκ τοῦ τούτων τέλους. φύονται μὲν γὰρ ἐκεῖθεν, ἤρτηνται δὲ μᾶλλον τῆς προνοίας. δεδειγμένων δὲ

ἡμῖν τῶν πρώτων ὡς οἷόν τε, καλῶς ἂν ἔχοι καὶ διὰ τῶν ὑστέρων δεῖξαι τὸ προκείμενον· λέγω δὲ διὰ τῆς ὀφειλομένης ἑκάστῳ τῶν ἀνθρώπων κατὰ δικαίαν κρίσιν τιμῆς ἢ δίκης, καὶ τοῦ κατὰ τὸν ἀνθρώπινον βίον τέλους. αὐτῶν δὲ τούτων προτάξαι τὸν κατὰ φύσιν ἡγούμενον, καὶ πρῶτόν γε διασκέψασθαι τὸν περὶ τῆς κρίσεως λόγον· τοσοῦτον μόνον ὑπειπόντας φροντίδι τῆς προσηκούσης τοῖς προκειμένοις ἀρχῆς καὶ τάξεως, ὅτι δεῖ τοὺς ποιητὴν τὸν θεὸν τοῦδε τοῦ παντὸς παραδεξαμένους, τῇ τούτου σοφίᾳ καὶ δικαιοσύνῃ τὴν τῶν γινομένων ἁπάντων ἀνατιθέναι φυλακήν τε καὶ πρόνοιαν· εἴγε ταῖς ἰδίαις ἀρχαῖς παραμένειν ἐθέλοιεν· ταῦτα δὲ περὶ τούτων φρονοῦντας, μηδὲν ἡγεῖσθαι μήτε τῶν κατὰ γῆν, μήτε τῶν κατ' οὐρανὸν, ἀνεπιτρόπευτον, μηδ' ἀπρονόητον, ἀλλ' ἐπὶ πᾶν ἀφανὲς ὁμοίως καὶ φαινόμενον, μικρόν τε καὶ μεῖζον, διήκουσαν γινώσκειν τὴν παρὰ τοῦ ποιήσαντος ἐπιμέλειαν. δεῖται γὰρ πάντα τὰ γινόμενα τῆς παρὰ τοῦ ποιήσαντος ἐπιμελείας, ἰδίως δὲ ἕκαστον καθ' ὃ πέφυκε, καὶ πρὸς ὃ πέφυκεν [1] ἃ χρή. οὐ γὰρ οἶμαι φι-

1. H. Stephanus leg. ἀχρεῖον γὰρ οἶμαι φιλοτιμίας καταγινώσκειν &c.

λοτιμίας

magis ex providentia. Quum igitur ostensa & probata sint à nobis, quantum licuit, quæ primi ordinis erant, ostendamus quoque quæ deinde sequuntur: loquor autem de præmio vel supplicio quod pro meritis cuique hominum ex justo judicio attribuetur, & de fine qui ad humanam vitam correspondebit. Verum id ita fiat ut ea præcedant quæ naturaliter prioris loci sunt: primumque tractemus de judicii ratione. Quæ verba ideo loquimur, quod nobis curæ est fundamentum ordoque institutæ disputationis, & quod oporteat eos qui Deum admittunt ut conditorem hujus universitatis, illius ipsius sapientiæ & justitiæ attribuere omnium rerum custodiam & procurationem, si modo fundamento constituto ac principiis semel admissis inhærere velint. Porro quum hujus opinionis sint, æquum est ut nihil existiment neq; terrestrium neq; cœlestium rerum cura & providentia destitutum esse: sed in omnia æque, tum quæ in aperto sunt tum quæ latent, in magna item & parva, penetrare creatoris sollicitudinem. Omnia enim quæ sunt, creatoris sui providentia indigent: peculiariter autem unumquodque

quodque pro sui natura, & ad quod conditum est. Non enim existimo ambitiose singulatim explicandum & divisionibus distinguendum quid cuique naturæ conveniat: homo certe de quo sermo institutus est, ut famelicus, alimento opus habet; ut mortalis, prolis successione; ut rationalis, judicio. Indiget autem judicio, ut legitime ad victum & successionem incumbat. Necessum est autem, victu & successione ad id quod ex utroque compositum est pertinente ad illud idem quoque judicium pertinere: (voco autem, ex utroque compositum, hominem ex anima & corpore constantem:) atque istiusmodi hominem omnium quæ agit reum fieri, ut pro illis vel præmium vel supplicium recipiat. Quod si contra id quod ex utroque compositum est, pro factis ipsius sententia justi judicii profertur; fieri non potest ut anima sola talionem referat eorum quæ cum corpore gessit. Nam ipsa per se non tangitur peccatis, quæ per voluptates corporales vel cibos vel cultus perpetrantur. Neque item solum corpus talionem referre oportet, ut quod legum & judicii discrimen non sentiat:

λοτιμίας τὸ κατάνειν, ἢ διαιρεῖν νοῦν, ἢ τὸ πρόσφορον ἑκάστῃ φύσει καταλέγειν ἐθέλειν. ὅγε μὴν ἄνθρωπος περὶ οὗ νῦν προκεῖται λέγειν, ὡς μὲν ἐνδεὴς, δεῖται τροφῆς· ὡς δὲ θνητὸς, διαδοχῆς· ὡς δὲ λογικὸς, δίκης. εἰ δὲ τῶν εἰρημένων ἕκαστόν ἐστιν ἀνθρώπῳ κατὰ φύσιν, καὶ δεῖται μὲν τροφῆς διὰ τὴν ζωὴν, δεῖται δὲ διαδοχῆς διὰ τὴν τοῦ γένους διαμονὴν, δεῖται δὲ δίκης διὰ τὸ τῆς τροφῆς καὶ τῆς διαδοχῆς ἔννομον, ἀνάγκη δήπου τῆς τροφῆς καὶ τῆς διαδοχῆς ἐπὶ τὸ συναμφότερον φερομένης, ἐπὶ τοῦτο φέρεσθαι καὶ τὴν δίκην· λέγω δὴ συναμφότερον τὸν ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον· καὶ τὸν τοιοῦτον ἄνθρωπον γίνεσθαι πάντων τῶν πεπραγμένων ὑπόδικον, τὴν δὲ ἐπὶ τούτοις δέχεσθαι τιμὴν ἢ τιμωρίαν. εἰ δὲ κατὰ τοῦ συναμφοτέρου φέρει τὴν ἐπὶ τοῖς εἰργασμένοις δίκην ἡ δικαία κρίσις, καὶ μήτε τὴν ψυχὴν μόνην δεῖ κομίσασθαι τὰ ἐπίχειρα τῶν μετὰ τοῦ σώματος εἰργασμένων (ἀπροσπαθὴς γὰρ αὕτη καθ' ἑαυτὴν τῶν περὶ τὰς σωματικὰς ἡδονὰς ἢ τροφὰς καὶ θεραπείας γινομένων πλημμελημάτων) μήτε τὸ σῶμα μόνον (ἄκριτον γὰρ τοῦτο καθ' ἑαυτὸ νόμου καὶ δίκης)

ὁ δὲ

ὁ δὲ ἐκ τούτων ἄνθρωπος τῶν ἐφ' ἑκάστῳ τῶν εἰργασμένων αὐτῷ δέχεται κρίσιν. τοῦτο δὲ οὔτε κατὰ τήνδε τὴν ζωὴν εὑρίσκει συμβαῖνον ὁ λόγος· (οὐ γὰρ σώζεται τὸ κατ' ἀξίαν ἐν τῷ παρόντι βίῳ· διά γε τὸ πολλοὺς μὲν ἀθέους καὶ πᾶσαν ἀνομίαν καὶ κακίαν ἐπιτηδεύοντας, μέχρι τῆς τελευτῆς διατελεῖν κακῶν ἀπειράτους, καὶ τοὐναντίον τοὺς κατὰ πᾶσαν ἀρετὴν ἐξητασμένον τὸν ἑαυτῶν βίον ἐπιδειξαμένους, ἐν ὀδύναις ζῆν, ἐν ἐπηρείαις, ἐν συκοφαντίαις, αἰκίαις τε καὶ παντοίαις κακοπαθείαις·) οὔτε δὲ μετὰ θάνατον· (οὐδὲ γάρ ἐστιν ἔτι τὸ συναμφότερον, χωριζομένης μὲν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, σκεδαννυμένου δὲ καὶ αὐτοῦ τοῦ σώματος εἰς ἐκεῖνα πάλιν ἐξ ὧν συνεφορήθη, καὶ μηδὲν ἔτι σώζοντος τῆς προτέρας φύσεως, ἢ μορφῆς, ἤπου γε τῆς μνήμης τῶν πεπραγμένων·) εὔδηλον παντὶ τὸ λειπόμενον, ὅτι δεῖ κατὰ τὸν Ἀπόστολον, [1] τὸ φθαρτὸν τοῦτο καὶ διασκεδαστὸν ἐνδύσασθαι ἀφθαρσίαν, ἵνα ζωοποιηθέντων ἐξ ἀναστάσεως τῶν νεκρωθέντων, καὶ πάλιν ἑνωθέντων τῶν κεχωρισμένων, ἢ καὶ πάντῃ διαλελυμένων, ἕκαστος κομίσηται δικαίως ἃ διὰ τοῦ σώματος ἔπραξεν εἴτε ἀγαθὰ, εἴτε κακά.

1. 1 Cor. 15. 58.

πρὸς

tiat: sed homo qui istis constat, pro unoquoque facto judicium accipere debet. Id autem in hac vita contingere nulla ratione deprehendas: non enim id in præsenti vita legitime observatur, quum multos videamus impios & omnis iniquitatis studiosos usque ad mortem malorum expertes persistere: eos vero qui omni virtute spectati sunt, inferendis doloribus, vexationibus, calumniis, contumeliis, ac omni genere afflictionis vitam absumere. Neque item post mortem deprehendere id queas: non enim jam superest id quod ex utroque constat, quum & anima separata sit à corpore, ipsumque corpus rursum dissipatum sit in ea ex quibus congestum fuit, nihilque jam supersit quod vel veterem formam, vel naturam, imo ne memoriam quidem eorum quæ acta sunt, retineat. Liquet igitur id quod sequitur, nimirum quod oportet, secundum Apostolum, corruptibile istud dissipatum induere incorruptionem, ut vivificatis resurrectione mortuis, ac rursus unitis quæ disjecta erant aut penitus consumta, unusquisque referat juste ea quæ per corpus gessit, sive bona, sive mala. Adversus

illos igitur qui providentiam admittunt, & eadem principia & fundamenta nobiſcum recipiunt, deinde à ſuis inſtitutis & receptis opinionibus neſcio quo pacto excidunt & deficiunt, iſtiuſmodi verbis aliiſque multo uberioribus uti poſſis; ſi quidem ea dilatare velis quæ breviter & in tranſcurſu dicta ſunt. Adverſus illos autem qui de ipſis principiis controverſiam movent, rectum fuerit aliud ante iſta principium & quaſi fundamentum ſtatuere, ut interim dubitabilia fingamus & quæſtionibus exploranda, de quibus ipſi hæſitant: num videlicet hominum vita moreſque neglectui dati ſint, ac craſſæ terrarum umbræ offundantur, quæ ignorantia & ſilentio involvunt tum ipſos homines, tum eorum acta. An quod multo certius eſt, exiſtimandum, creatorem creatis rebus præſidere, omniumque quæ ſunt aut fiunt obſervatorem, factorum ſimul & cogitationum judicem eſſe. Si enim nulla uſquam de hominum facinoribus cenſura; nihil ſupra bruta poſſidebunt homines. Quinimo iis ipſis infelicius agent qui affectus ſuos in ſervitutem redigunt, & pietatem,

justitiam,

πρὸς μὲν οὖν τοὺς ὁμολογοῦντας τὴν πρόνοιαν, καὶ τὰς αὐτὰς ἡμῖν παραδεξαμένους ἀρχὰς, εἶτα τῶν οἰκείων ὑποθέσεων οὐκ οἶδ' ὅπως ἐκπίπτοντας, τοιούτοις χρήσαιτ' ἄν τις λόγοις, καὶ πολλῷ πλείοσι τούτων, εἴγε πλατύνειν ἐθέλοι τὰ συντόμως καὶ κατ' ἐπιδρομὴν εἰρημένα. πρὸς δέ γε τοὺς περὶ τῶν πρώτων διαφερομένους ἴσως ἂν ἔχοι καλῶς ἑτέραν ὑποθέσθαι πρὸ τούτων ἀρχὴν, συνδιαπορoῦντας αὐτοῖς περὶ ὧν δοξάζουσι, καὶ τοιαῦτα συνδιασκεπτομένους. ἆρά γε πάντῃ καθάπαξ ἡ τῶν ἀνθρώπων παρῶπται ζωὴ καὶ σύμπας ὁ βίος, ζόφος δέ τις βαθὺς κατακέχυται τῆς γῆς, ἀγνοίᾳ καὶ σιγῇ κρύπτων αὐτούς τε τοὺς ἀνθρώπους καὶ τὰς τούτων πράξεις· ἢ πολὺ τούτων ἀσφαλέστερον, τὸ δοξάζειν ὅτι τοῖς ἑαυτοῦ ποιήμασιν ἐφέστηκεν ὁ ποιήσας, πάντων τῶν ὁπωσοῦν ὄντων ἢ γινομένων ἔφορος, ἔργων τε καὶ βουλευμάτων κριτής. εἰ μὲν γὰρ μηδεμία μηδαμοῦ τῶν ἀνθρώποις πεπραγμένων γίγνοιτο κρίσις, οὐδὲν ἕξουσι πλεῖον τῶν ἀλόγων ἄνθρωποι· μᾶλλον δὲ κἀκείνων πράξουσιν ἀθλιώτερον, οἱ τὰ πάθη δουλαγωγοῦντες, καὶ φροντίζοντες εὐσεβείας καὶ δικαιοσύνης, καὶ τῆς ἄλλης ἀρετῆς· ὁ δὲ

κτηνώδης βίος καὶ θηριώδης, ἄριστος· ἀρετὴ δὲ, ἀνόητον· δίκης δὲ ἀπειλὴ, γέλως πλατύς· τὸ δὲ πᾶσαν θεραπεύειν ἡδονὴν, ἀγαθὸν τὸ μέγιστον. δόγμα δὲ κοινὸν τούτων ἁπάντων καὶ νόμος εἷς τὸ τοῖς ἀκολάστοις καὶ λάγνοις φίλον, [1] φάγωμεν δὲ καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. τοῦ γὰρ τοιούτου βίου τέλος οὐδὲ ἡδονὴ κατά τινας, ἀλλ᾽ ἀναισθησία παντελής. εἰ δέ ἐστί τις τῷ ποιήσαντι τοὺς ἀνθρώπους τῶν ἰδίων ποιημάτων φροντὶς, καὶ σώζεταί που τῶν εὖ ἢ κακῶς βεβιωμένων ἡ διάκρισις, ἤτοι κατὰ τὸν παρόντα βίον ζώντων ἔτι τῶν κατ᾽ ἀρετὴν ἢ κακίαν βεβιωκότων, ἢ μετὰ θάνατον, ἐν χωρισμῷ καὶ διαλύσει τυγχανόντων. ἀλλὰ κατ᾽ οὐδέτερον τῶν εἰρημένων εὑρεῖν δυνατὸν σωζομένην τὴν δικαίαν κρίσιν. οὔτε γὰρ οἱ σπουδαῖοι κατὰ τὴν παροῦσαν ζωὴν φέρονται τὰ τῆς ἀρετῆς ἐπίχειρα, οὔτε μὴν οἱ φαῦλοι τὰ τῆς κακίας. παρίημι γὰρ λέγειν ὅτι σωζομένης τῆς φύσεως, ἐν ᾗ νῦν ἐσμὲν, οὐδ᾽ ἡ θνητὴ φύσις ἐνεγκεῖν οἵα τε τὴν σύμμετρον δίκην πλειόνων ἢ βαρυτέρων φερομένων πλημμελημάτων. ὅ, τε γὰρ μυρίοις ἐπὶ μυρίοις ἀνελὼν ἀδίκως λη-

1. Vide Plutarchum, περὶ τῆς τῶν παίδων ἀναγωγῆς.

ϛῆς,

justitiam, aliasque virtutes curæ habent: pecuina contra vita & feralis, optima censenda est: virtus è diverso, stolida res; judicii minæ, ingens ridiculum: voluptatem colere, summum bonum. Commune item placitum habendum est omnium & præcipua lex, id quod nequam & luxuriosis plausibile est, Comedamus & bibamus: cras enim morimur. Istiusmodi enim vitæ finis, non voluptas est, secundum nonnullos, sed sentiendi plena vacuitas. Quod si est creatori hominum suarum creaturarum cura aliqua, & instabit ullo in tempore bonorum & malorum facinorum dijudicatio: sive dum in præsenti vita vel bene vel male agunt, sive post mortem, dum in dissolutione & separatione consistunt. Verum neutro pacto invenias justum judicium servari posse. Non enim boni in præsenti vita præmia virtutis referunt, neque item mali pœnas scelerum. Ut omittam interea quod incolumi natura in qua nunc sumus, ne possit quidem mortalis natura parem sceleribus aut multis aut gravibus talionem sustinere. Quum enim innumeras hominum cædes alias super alias accumulat vel
 latro,

latro, vel princeps, aut tyrannus aliquis; fieri non poteſt ut una morte culpas ſuas expiet. Quum item qui nihil veri de Deo ſenſit, & in omni libidine & blaſphemia vixit, divina omnia deſpexit, leges perfregit, necnon & in fœminas & pueros ſtupris laſcivit, urbes injuſte excidit, domos una cum ſuis incolis combuſſit, provinciam evaſtavit, populos & gentes, imo integras nationes internecione delevit: quomodo in hoc corruptibili corpore ad talionis pœnam ſuffecerit, præcurrente morte debitos cruciatus, & ne ad unum quidem ſcelus luendum ſuppeditante mortali hac natura? Non igitur in præſenti vita judicium pro dignitate & merito cujuſque oſtendi poteſt, neque poſt mortem. Siquidem illa aut eſt totius vitæ in ſolidum extinctio, perdita cum corpore anima, ſimulque putrefacta: aut manet quidem per ſe indiſſolubilis anima, indiſſipabilis, incorruptibiliſque: ſed corpus diſſolvitur, nullam ulterius memoriam factorum ſervans, aut accidentium ſibi ſenſuum. Extincta enim omnino hominum vita, nullus apparet hominum reſpectus aut cura, neq; ullum de bene aut male

factis

στὴς, ἢ δυνάστης, ἢ τύραννος, οὐκ ἂν ἑνὶ θανάτῳ λύσειε τὴν ἐπὶ τούτοις δίκην· ὁ δὲ μηδὲν περὶ θεοῦ δοξάζων ἀληθὲς, ὕβρει δὲ πάσῃ καὶ βλασφημίᾳ συζῶν, καὶ παρορῶν μὲν τὰ θεῖα, καταλύων δὲ νόμους, ὑβρίσας δὲ παῖδας ὁμοῦ καὶ γυναῖκας, κατασκάψας δὲ πόλεις ἀδίκως, ἐμπρήσας δὲ οἴκους μετὰ τῶν ἐνοικούντων, καὶ δηϊώσας χώραν, καὶ τούτοις συναφανίσας δήμους καὶ λαοὺς ἢ καὶ σύμπαν ἔθνος, πῶς ἂν ἐν τῷ φθαρτῷ σώματι πρὸς τὴν τούτοις σύμμετρον ἀρκέσειε δίκην, προλαμβάνοντος τοῦ θανάτου τὸ κατ' ἀξίαν, καὶ μηδὲ πρὸς ἕν τι τῶν εἰργασμένων τῆς θνητῆς ἐξαρκούσης φύσεως; οὔτ' οὖν κατὰ τὴν παροῦσαν ζωὴν ἡ κατ' ἀξίαν δείκνυται κρίσις, οὔτε μετὰ θάνατον. ἤτοι γὰρ παντελὴς ἐστι σβέσις τῆς ζωῆς ὁ θάνατος, συνδιαλυομένης τῷ σώματι τῆς ψυχῆς καὶ συνδιαφθειρομένης· ἢ μένει μὲν καθ' ἑαυτὴν ἄλυτος ἡ ψυχὴ, ἀσκέδαστος, ἀδιάφθορος, φθείρεται δὲ καὶ διαλύεται τὸ σῶμα, οὐδεμίαν ἔτι σῶζον οὔτε μνήμην τῶν εἰργασμένων, οὔτ' αἴσθησιν τῶν ἐπ' αὐτῇ παθημάτων. σβεννυμένης μὲν γὰρ παντελῶς τῆς τῶν ἀνθρώπων ζωῆς, οὐδεμία φανήσεται τῶν ἀνθρώπων οὐ ζών-

των

τῶν φροντὶς, οὐ τῶν κατ' ἀρετὴν ἢ κακίαν βεβιωκότων ἡ κρίσις· ἐπεισκυκληθήσεται δὲ πάλιν τὰ τῆς ἀνόμου ζωῆς, καὶ τῶν ταύτῃ συνεπομένων ἀτόπων τὸ σμῆνος, τό, τε τῆς ἀνομίας ταύτης κεφάλαιον ἀθεότης. εἰ δὲ φθείροιτο μὲν τὸ σῶμα καὶ χωροίη πρὸς τὸ συγγενὲς τῶν λελυμένων ἕκαστον, μένοι δὲ ἡ ψυχὴ καθ' ἑαυτὴν ὡς ἄφθαρτος, οὐδ' οὕτως ἕξει χώραν ἡ κατ' αὐτῆς κρίσις, μὴ προσούσης δικαιοσύνης. ἐπειδὴ μηδὲ θεμιτὸν ὑπολαμβάνειν ἐκ θεοῦ καὶ παρὰ θεοῦ γίνεσθαί τινα κρίσιν, ᾗ μὴ πρόσεστι τὸ δίκαιον. οὐ πρόσεστι δὲ τῇ κρίσει τὸ δίκαιον, μὴ σωζομένου τοῦ διαπραξαμένου τὴν δικαιοσύνην ἢ τὴν ἀνομίαν. ὁ γὰρ διαπραξάμενος ἕκαστον τῶν κατὰ τὸν βίον ἐφ' οἷς ἡ κρίσις, ἄνθρωπος ἦν, οὐ ψυχὴ καθ' ἑαυτήν. τὸ δὲ σύμπαν εἰπεῖν, ὁ λόγος οὗτος ἐπ' οὐδενὸς φυλάξει τὸ δίκαιον. κατορθωμάτων τε γὰρ τιμωμένων, ἀδικηθήσεται τὸ σῶμα σαφῶς, ἐκ τοῦ κοινωνῆσαι μὲν τῇ ψυχῇ τῶν ἐπὶ τοῖς σπουδαζομένοις πόνων, μὴ κοινωνῆσαι δὲ τῆς ἐπὶ τοῖς κατορθωθεῖσι τιμῆς, καὶ συγγνώμης μὲν τυγχάνειν πολλάκις τὴν ψυχὴν ἐπί τινων

πλημμε-

factis judicium destinatum videtur: ingruet autem denuo & inundabit quicquid est exlegis vitæ, reliquæque absurditates, quas istiusmodi vita quasi comitum examen secum trahit, & una cum ipsis impietas Dei negatrix, quæ princeps & caput est ejus vitæ in qua sine lege vivitur. Quod si corrumpatur corpus, & ad cognata sua, ut quodque dissolutum est, elementa recedat, maneat autem per se anima ut incorrupta; ne ita quidem locus erit judicandæ animæ, quum non affutura sit justitia. Nefas autem est suspicari, ex Deo & à Deo judicium fieri cui non adest justitia non adest autem justitia quum non incolumis manserit & capax judicii, qui justa aut injusta fecit: qui enim singula in vita egit de quibus judicandum est, homo fuit, non anima sola. Ut summatim dicam, istiusmodi ratio nulla in parte justitiam tuebitur. In recipiendis enim rerum præclare gestarum præmiis injuriam haud dubie patietur corpus, eo quod particeps fuerit laborum in bonis rebus gerendis: nunc autem exors sit honorum qui virtuti repensantur: ac quum venia sæpius animæ indulgeatur in quibusdam delictis,

lictis, respectu corporalis inopiæ & necessitatis, ipsum corpus excidat à communicatione præmiorum, pro quibus una in vita labores sustinuit, quî quæso non iniquum reputabitur? E diverso, si damnentur scelera, non juste agetur cum anima. Siquidem sola eorum culpam luet quæ ad obturbationes corporis & ad suos appetitus & motus trahentis in vita deliquit: dum nunc raptu, nunc quasi furto abducitur à recto, nunc violentiori propensitate trahitur: interdum gratificandi studio, & ut adblandiatur contubernio corporis, vitiis indulget. Aut quî quæso injustum non est, animam solum condemnari ob illa quorum, ex sua natura, neque appetitum, neque motum, neque impetum habet: ut luxuriæ, violentiæ, avaritiæ, injustitiæ, eorumque delictorum quæ hac de causa fiunt? Si enim pleraque mala fiunt, quod homines non satis imperent tumultuantibus affectibus: tumultuantur autem ideo ut studeant & medeantur corporis egentiæ & necessitati (horum enim causa omnia parant, ut inde ad usum & fruitionem perveniatur: necnon & nuptiæ ineuntur, aliaque negotia quæ

πλημμελημάτων, διὰ τὴν τοῦ σώματος ἔνδειάν τε καὶ χρείαν, ἐκπίπτειν δὲ αὐτὸ τὸ σῶμα τῆς ἐπὶ τοῖς κατορθωθεῖσι κοινωνίας, ὑπὲρ ὧν τοὺς ἐν τῇ ζωῇ διήνεγκε πόνους, πῶς οὐκ ἄδικον; καὶ μὴν καὶ πλημμελημάτων κρινομένων οὐ σώζεται τῇ ψυχῇ τὸ δίκαιον, εἴγε μόνη τίνοι δίκην ὑπὲρ ὧν ἐνοχλοῦντος τοῦ σώματος, καὶ πρὸς τὰς οἰκείας ὀρέξεις ἢ κινήσεις ἕλκοντος, ἐπλημμέλησεν· ποτὲ μὲν κατὰ τὴν συναρπαγὴν καὶ κλοπὴν, ποτὲ δὲ κατά τινα βιαιοτέραν ὁλκὴν, ἄλλοτε κατὰ συνδρομὴν, ἐν χάριτος μέρει καὶ θεραπείας τῆς τούτου συστάσεως. ἢ πῶς οὐκ ἄδικον, τὴν ψυχὴν κρίνεσθαι καθ' ἑαυτὴν ὑπὲρ ὧν οὐδ' ἡντινοῦν ἔχει, κατὰ τὴν ἑαυτῆς φύσιν, οὐκ ὄρεξιν, οὐ κίνησιν, οὐχ ὁρμὴν· οἷον λαγνείας, ἢ βίας, ἢ πλεονεξίας, ἢ ἀδικίας, καὶ τῶν ἐπὶ τούτοις ἀδικημάτων; εἰ γὰρ τὰ πλεῖστα τῶν τοιούτων γίνεται κακῶν ἐκ τοῦ μὴ κατακρατεῖν τοὺς ἀνθρώπους τῶν ἐνοχλούντων παθῶν· ἐνοχλοῦνται δὲ ὑπὸ τῆς τοῦ σώματος ἐνδείας καὶ χρείας, καὶ τῆς περὶ τοῦτο σπουδῆς καὶ θεραπείας· (τούτων γὰρ ἕνεκεν πᾶσα ἡ κτῆσις, καὶ πρὸ ταύτης ἡ χρῆσις· ἔτι δὲ γάμος, καὶ ὅσαι κατὰ τὸν βίον πράξεις,

πράξεις, ἐν οἷς καὶ περὶ ἃ θεωρεῖται τό, (τὸ πλημμελὲς, καὶ τὸ μὴ τοιοῦτον) τὸ δίκαιον, ἐν οἷς προσυμπαθεῖ τὸ σῶμα καὶ τὴν ψυχὴν ἕλκει πρὸς συμπάθειαν καὶ κοινωνίαν τῶν ἐφ' ἃ δεῖται πράξεων, αὐτὴν κρίνεσθαι μόνην; καὶ τὰς μὲν ὀρέξεις καὶ τὰς ἡδονὰς, ἔτι δὲ φόβους καὶ λύπας, ἐφ' ὧν πᾶν τὸ μὴ μέτριον, ὑπόδικον, ἀπὸ τοῦ σώματος ἔχειν τὴν κίνησιν· τὰς δὲ ἐκ τούτων ἁμαρτίας καὶ τὰς ἐπὶ τοῖς ἡμαρτημένοις τιμωρίας ἐπὶ τὴν ψυχὴν φέρεσθαι μόνην, τὴν μήτε δεομένην τοιούτου τινὸς, μήτε ὀρεγομένην, μήτε φοβουμένην ἢ πάσχουσάν τι τοιοῦτον καθ' ἑαυτὴν, οἷα πάσχειν πέφυκεν ἄνθρωπος; ἀλλ' κἂν μὴ μόνου τοῦ σώματος, ἀνθρώπου δὲ θῶμεν εἶναι τὰ πάθη, λέγοντες ὀρθῶς, διὰ τὸ μίαν ἐξ ἀμφοτέρων εἶναι τὴν τούτου ζωὴν, δήπου γε καὶ τῇ ψυχῇ ταῦτα προσήκειν φήσομεν, ὁπόταν καθαρῶς τὴν ἰδίαν αὐτῆς ἐπισκοπῶμεν φύσιν. εἰ γὰρ πάσης καθάπαξ τροφῆς ἐστιν ἀνενδεὴς, οὐκ ἂν ὀρεχθείη ποτὲ τούτων, ὧν οὐδαμῶς δεῖται πρὸς τὸ εἶναι, οὔτ' ἂν ὁρμήσειεν ἐπί τι τούτων οἷς μηδ' ὅλως χρῆσθαι πέφυκεν· ἀλλ' οὐδ' ἂν λυπηθείη δι' ἀπορίαν χρημάτων ἢ κτημάτων ὡς οὐδὲν αὐτῇ προσηκόντων. εἰ δὲ καὶ

φθορᾶς

quæ in vita fiunt, in quibus & circa quæ spectatur quicquid in laude vel in vitio est:) ubi hic æquitas, quum ob ea quibus præafficitur corpus, animamque trahit ad consortium ejusdem affectionis, studio obtinendi sui usus, anima sola condemnetur: quumque cupiditates, voluptates, formidines & dolores, quorum immodestia omnis judicio obnoxia est, motum trahant à corpore, peccata tamen inde manantia eorumque supplicia in solam animam incumbere, quæ nihil tale requisivit, nihil tale appetivit, nec metuit, nec passa est istiusmodi quippiam per se, qualia homo pati consuevit? Quinimo si non solius corporis, sed hominis statuamus esse passiones, eo quod una illi sit ex ambobus vita, nequaquam tamen eas ad animam pertinere allegabimus, quum liquide ejus propriam materiam inspexerimus. Si enim nullius omnino alimenti est indiga, nunquam ea appetierit quorum usum non requirit ut suam essentiam tueatur: neque ad ea rapietur, quibus ut fruatur ex natura non habet: imo ne doluerit quidem ob inopiam pecuniarum aut possessionum, ut nihil ad ipsam per-

 tinentium

tinentium. Quod si supra corruptionem consistit, nihil scilicet sibi exitiale veretur. Non enim famem, aut morbum, aut mutilationem, aut truncationẽ, aut ignem, aut ferrum timet. Quandoquidem nihil cladis aut triste ab iis accipere potest, quum nullum corpus aut corporeum ulla ex parte illam attingere valeat. Quod si absurdum est peculiariter affectiones animæ assignare, etiam harum pœnas attribuere animabus, immensæ iniquitatis est, & alienum à divino judicio. Præter ista quæ jam dicta sunt, quî quæso non absurdum est, virtutes & vitia ne intelligi quidem posse, seorsum in anima consistere: (hominis enim esse virtutes, quæcunque virtutes sunt, persentiscimus: ut itidem & vitia virtutibus contraria, non animæ separatæ à corpore, & per se existentis dijudicamus:) supplicia tamen & præmia istorum ad solas animas referre velle? Aut quî quæso sentias solius animæ fortitudinem, aut tolerantiam esse, quæ nec mortem, nec vulnera, nec mutilationem, nec damnum, nec contumeliosam tractationem exhorret, neque eos qui inde proveniunt, vel dolores, vel miserias?

φθορᾶς ἐστι κρείττων, οὐδὲν φοβεῖται τὸ παράπαν, ὡς φθαρτικὸν ἑαυτῆς. οὐ γὰρ δέδοικεν οὐ λιμὸν, οὐ νόσον, οὐ πήρωσιν, οὐ λώβην, οὐ πῦρ, οὐ σίδηρον· ἐπεὶ μηδὲ παθεῖν ἐκ τούτων δύναταί τι βλαβερὸν, οὔτ' ἀλγεινὸν, οὐχ ἁπτομένων αὐτῆς τὸ παράπαν οὔτε σωμάτων, οὔτε σωματικῶν δυνάμεων. εἰ δὲ τὸ τὰ πάθη ταῖς ψυχαῖς ἰδιαζόντως προσάπτειν ἄτοπον, τὸ τὰς ἐκ τούτων ἁμαρτίας καὶ τὰς ἐπὶ ταύταις τιμωρίας ἐπὶ μόνας φέρειν τὰς ψυχὰς, ὑπερβαλλόντως ἄδικον καὶ τῆς τοῦ θεοῦ κρίσεως ἀνάξιον. πρὸς δὲ τοῖς εἰρημένοις, πῶς οὐκ ἄτοπον τὴν μὲν ἀρετὴν καὶ τὴν κακίαν μηδὲ νοηθῆναι δύνασθαι χωρὶς ἐπὶ τῆς ψυχῆς· (ἀνθρώπου γὰρ ἀρετὰς εἶναι γινώσκομεν τὰς ἀρετὰς, ὥσπερ οὖν καὶ τὴν ταύταις ἀντικειμένην κακίαν, οὐ ψυχῆς κεχωρισμένης τοῦ σώματος, καὶ καθ' ἑαυτὴν οὔσης·) τὴν δ' ἐπὶ τούτοις τιμὴν ἢ τιμωρίαν ἐπὶ μόνης φέρεσθαι τῆς ψυχῆς; ἢ πῶς ἄν τις καὶ νοήσειεν ἐπὶ ψυχῆς μόνης ἀνδρείαν, ἢ καρτερίαν, οὐκ ἐχούσης οὐ θανάτου φόβον, οὐ τραύματος, οὐ πηρώσεως, οὐ ζημίας, οὐκ αἰκίας, οὐ τῶν ἐπὶ τούτοις ἀλγημάτων, ἢ τῆς ἐκ τούτων κακοπαθείας;

πῶς δὲ ἐγκράτειαν καὶ σωφροσύνην, οὐδεμιᾶς ἑλκούσης αὐτὴν ἐπιθυμίας πρὸς τροφὴν, ἢ μίξιν, ἢ τὰς ἄλλας ἡδονάς τε καὶ τέρψεις, οὐδ᾽ ἄλλου τινὸς οὔτ᾽ ἔσωθεν ἐνοχλοῦντος, οὔτ᾽ ἔξωθεν ἐρεθίζοντος; πῶς δὲ φρόνησιν, οὐχ ὑποκειμένων αὐτῇ πρακτέων, οὐδ᾽ αἱρετῶν καὶ φευκτῶν· μᾶλλον δὲ μηδεμιᾶς ἐνούσης αὐτῇ κινήσεως τὸ παράπαν, ἢ φυσικῆς ὁρμῆς ἐπί τι τῶν πρακτέων; πῶς δὲ ὅλως ψυχαῖς ἡ πρὸς ἀλλήλας δικαιοσύνη προσφυὴς, ἢ πρὸς ἄλλο τι τῶν ὁμογενῶν ἢ ἑτερογενῶν, οὐκ ἐχούσαις οὔτε πόθεν, οὔτε δι᾽ ὧν, οὔτε πῶς ἀπονείμωσι τὸ κατ᾽ ἀξίαν ἢ κατ᾽ ἀναλογίαν ἴσον, [1] ἐξῃρημένης τῆς εἰς θεὸν τιμῆς· οὐδ᾽ ἄλλως ἐχούσαις ὁρμὴν ἢ κίνησιν πρὸς χρῆσιν ἰδίων, ἢ πρὸς ἀποχὴν τῶν ἀλλοτρίων· τῆς μὲν χρήσεως τῶν κατὰ φύσιν, ἢ τῆς ἀποχῆς ἐπὶ τῶν χρῆσθαι πεφυκότων θεωρουμένης· τῆς δὲ ψυχῆς, μήτε δεομένης τινὸς, μήτε χρῆσθαι τισὶν ἢ τινὶ πεφυκυίας, καὶ διὰ τοῦτο μήτε τῆς λεγομένης ἰδιοπραγίας τῶν μερῶν ἐπὶ τῆς οὕτως ἐχούσης ψυχῆς εὑρεθῆναι

---

1. Excipit Dei cultum, ſiquidem id unum anima ſola expediri poſſit, Jo. 4. 24.

rias? Aut quî rursum temperantiam vel prudentiam intelligas, ubi nulla appetentia animum ad cibum, concubitum, aliasve voluptates & oblectationes trahat, nihilque vel intus obturbet, vel foris irritet? Aut quî denique prudentiam imaginaveris, quum materia rerum eligendarum & fugiendarum ad animas non spectet, quum materia delectus in rebus agendis animæ non subjiciatur, vel potius nullus ei insit motus aut naturalis impetus ad res agendas? Ubi autem omnino inter duas animas congruens justitia, sive res cognatas sive externas respicias: aut unde, aut quibus, aut quomodo tribuent id quod æquum est, vel secundum dignitatem cujusque, vel secundum proportionem? Nihil profecto tale est, si excipias honorem Deo ab illis impartiendum, quum neque impetum aut motum habeant, ut vel suis utantur, vel ab alienis abstineant: quum usus abstinentiaque in illis cernatur quibus istiusmodi res ex natura necessariæ sunt, anima contra ita nata sit ut nihil horum requirat. Atque inde est quod in re ejusmodi indolis propriam membrorum functionem deprehen-

dere nequeas. Quin illud quoque absurdiſſimum, leges conditas ad homines referri, pœnam legum [1] ad ſolas animas retorqueri. Si enim qui leges recepit, jure etiam receperit violatarũ legum mulctas: leges autem recepit homo, non anima ſola; æquũ eſt hominem delictorum pœnas luere, non animam ſolam. Quandoquidem non animabus præcepit Deus ut ab illicitis abſtinerent, utpote adulteriis, cædibus, furtis, rapinis, & neglectu parentum, & ab omni noxa & injuſta alienæ rei concupiſcentia. Non enim præceptum, Honora patrẽ & matrem, animabus competit, quum ad eas iſtiuſmodi nomina non pertineant: non enim anima animam gignit, ut inde ſibi vendicet nomen parentis: ſed homo hominem. Neque item, Ne adulterium facias, de animis aut dici apte aut intelligi poteſt, quum in ipſis non ſit maſculini aut fœminini ſexus ullum diſcerniculum, aut coituum aptitudo, aut coeundi appetitus. At ubi appetitus ille non ſit, miſturam illam fieri impoſſibile eſt: apud quos autem iſtiuſmodi miſtura non eſt, ne legitima quidem coitio, nimirum connubialis, reperiri po-

1. Aut præmia.

teſt:

δυναμένης. καὶ μὴν κἀκεῖνο πάντων παραλογώτατον, τὸ τοὺς μὲν τεθέντας νόμους ἐπ' ἀνθρώπους φέρειν, τὴν δὲ νομίμως ἢ παρανόμως πεπραγμένων τὴν δίκην ἐπὶ μόνας τρέπειν τὰς ψυχάς. εἰ γὰρ ὁ τοὺς νόμους δεξάμενος, οὗτος δέξαιτ' ἂν δικαίως καὶ τῆς παρανομίας τὴν δίκην, ἐδέξατο δὲ τοὺς νόμους ἄνθρωπος, οὐ ψυχὴ καθ' ἑαυτήν, ἄνθρωπον δεῖ καὶ τὴν ὑπὲρ τῶν ἡμαρτημένων ὑποσχεῖν δίκην, οὐ ψυχὴν καθ' ἑαυτήν. ἐπεὶ μὴ ψυχαῖς ἐθέσπισε θεὸς ἀπέχεσθαι τῶν οὐδὲν αὐταῖς προσηκόντων, οἷον μοιχείας, φόνου, κλοπῆς, ἁρπαγῆς, τῆς κατὰ τῶν γεννησάντων ἀτιμίας, πάσης τε κοινῶς τῆς ἐπ' ἀδικίᾳ καὶ βλάβῃ τῶν πέλας γινομένης ἐπιθυμίας. οὔτε γὰρ τὸ τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, ψυχαῖς μόνον ἐφαρμόζον, οὐ προσηκόντων αὐταῖς τῶν τοιούτων ὀνομάτων· οὐ γὰρ ψυχαὶ ψυχὰς γεννῶσι, τὴν τοῦ πατρὸς ἢ τῆς μητρὸς οἰκειοῦνται προσηγορίαν, ἀλλ' ἀνθρώπους ἄνθρωποι. οὔτε ἂν τὸ οὐ μοιχεύσεις, ἐπὶ ψυχῶν λεχθείη ποτ' ἂν ἢ νοηθείη δεόντως, οὐκ οὔσης ἐν αὐταῖς τῆς κατὰ τὸ ἄρσεν καὶ θῆλυ διαφορᾶς, οὐδὲ πρὸς μῖξιν τινὸς ἐπιτηδειότητος, ἢ πρὸς ταύτην ὀρέξεως. ὀρέξεως δὲ τοιαύτης οὐκ οὔσης,

μῖξιν

μίξιν εἶναι δυνατόν· παρ' οἷς δὲ μίξις οὐκ ἔστιν, ὅλως οὐδὲ ἔνθεσμος μίξις, ὅπερ ἐστὶν ὁ γάμος. ἐννόμου δὲ μίξεως οὐκ οὔσης, οὐδὲ τὴν παράνομον καὶ τὴν ἐπ' ἀλλοτρίᾳ γυναικὶ γινομένην ὄρεξιν ἢ μίξιν εἶναι δυνατόν· τοῦτο γάρ ἐστι μοιχεία. ἀλλ' οὐδὲ τὸ κλοπὴν ἀπαγορεύειν, ἢ τὴν τοῦ πλείονος ἐπιθυμίαν, ψυχαῖς προσφυές· οὐδὲ γὰρ δέονται τούτων, ὧν οἱ δεόμενοι, διὰ τὴν φυσικὴν ἔνδειαν ἢ χρείαν, κλέπτειν εἰώθασιν, ἢ λῃστεύειν, οἷον χρυσόν, ἢ ἄργυρον, ἢ ζῶον, ἢ ἄλλο τι τῶν πρὸς τροφὴν ἢ σκέπην ἢ χρῆσιν ἐπιτηδείων. ἀχρεῖον γὰρ ἀθανάτῳ φύσει πᾶν ὁπόσον τοῖς ἐνδεέσιν ὀρεκτόν, ὡς χρήσιμον. ἀλλ' ὁ μὲν ἐντελέστερος περὶ τούτων λόγος ἀφείσθω τοῖς σπουδαιότερον ἕκαστον σκοπεῖν βουλομένοις, ἢ φιλοτιμότερον διαγωνίζεσθαι πρὸς τοὺς διαφερομένους. ἡμῖν δὲ ἀρκούντων τῶν ἀρτίως εἰρημένων καὶ τῶν συμφώνως τούτοις τὴν ἀνάστασιν πιστουμένων, τὸ τοῖς αὐτοῖς ἐπὶ πλεῖον ἐνδιατρίβειν, οὐκ ἔτ' ἂν ἔχοι καιρόν. οὐ γὰρ τὸ μηδὲν παραλιπεῖν τῶν ἐνόντων εἰπεῖν, πεποιήμεθα σκοπόν, ἀλλὰ τὸ κεφαλαιωδῶς ὑποδεῖξαι τοῖς συνελθοῦσιν ἃ χρὴ περὶ ἀναστάσεως φρονεῖν, καὶ τῇ δυνάμει τῶν παρόντων συμμετρῆσαι τὰς ἐπὶ

τοῦτο

test: ubi vero connubialis coitio non est, neque illegitima & alienæ uxoris vel appetentia vel coitio (id enim adulterium est) locum habet. Neque item præceptum de furto vitando, aut nimietatis concupiscentia in animas congruit. Nihil enim illis opus habent, quorum qui indigi sunt, ob naturalem inopiam vel necessitatem, vel furto vel latrocinio ea sibi parare solent: quale est aurum, argentum, pecus, aut quippiam quod ad victum vel tegumentum vel usum idoneum sit. Inutile enim est immortali naturæ quicquid indigis ideo appetibile est, quia utile. Ceterum exactior ratio illis relinquatur qui ista diligentius cupiunt rimari, aut ardentius cum adversariis contendere. Nobis autem quum sufficiant superius dicta, eaque quæ cum istis concorditer & quasi uno concentu resurrectionem stabiliunt, iisdem diutius immorari intempestivum videtur. Non enim eum fecimus scopum, ut nihil eorum quæ huc pertinent, omitteremus: sed ut summatim subostenderemus omnibus huc convenientibus quid de resurrectione sentiendum esset, & ut vi eorum quæ jam in præsentia diximus, emetirentur

tur

tur alias rationum facultates eodem pertinentes. Excuſſis aliquo modo & examinatis quæ propoſita erant, reliquum jam fuerit, rationem finis contemplari, jam ex ſuperioribus verbis perſpicuam & evidentem: cuique nulla majore cura opus eſt quam ut ceteris apponatur, ne vel per oblivionem videatur omiſſa, vel ſuſceptum argumentum & inſtitutam ab initio diviſionem lædere. His de cauſis aliiſque eodem pertinentibus, pulcrum fuerit, vel eatenus tantum rem aperire, quod eorum quæ ex natura aut artificio conſtant, ſuos quoq; fines & peculiares habent, ipſo modo & communi intellectu id edocente, idemque rebus illis quæ ante oculos obverſantur, conteſtantibus. Annon videmus alium finem eſſe agricolis, alium medicis conſtitutum: rurſumque alium è terra ſuccreſcentibus, alium inde victitantibus animalibus, ac ſecundum naturalem ſeriem ſucceſſioniſque conſequentiam procreatis? Quod ſi illud evidens eſt, & neceſſum eſt omnino naturales & artificiales facultates eorumque actus ſuum pro ipſorum natura finem ſequi, neceſſum eſt omnino hominum finem, ut peculiaris

naturæ,

τοῦτο φερούσας ἀφορμάς. ἐξητασμένων δὲ πῶς τῶν προτεθέντων, ὑπόλοιπον ἂν εἴη καὶ τὸν ἀπὸ τοῦ τέλους διασκέψασθαι λόγον, ἤδη μὲν τοῖς εἰρημένοις ἐμφαινόμενον, τοσαύτης δὲ μόνον ἐπιστασίας καὶ προσθήκης δεόμενον, ὡς μὴ δοκεῖν τῶν μικρὸν εἰρημένων ἡμῖν ἀμνημόνευτον καταλιπεῖν, καὶ παραβλάψαι τὴν ὑπόθεσιν, ἢ τὴν ἐξ ἀρχῆς γινομένην διαίρεσιν. τούτων τε οὖν ἕνεκεν καὶ τῶν ἐπὶ τούτοις ἐγκεισομένων, καλῶς ἂν ἔχοι τοσοῦτον ἐπισημήνασθαι μόνον, ὅτι δεῖ καὶ τῶν ἐκ φύσεως συνισταμένων, καὶ τῶν κατὰ τέχνην γινομένων οἰκεῖον ἑκάστου τέλος εἶναι, τοῦ τρόπου, καὶ τῆς κοινῆς πάντων ἐννοίας ἐκδιδασκούσης ἡμᾶς, καὶ τῶν ἐν ὀφθαλμοῖς στρεφομένων ἐπιμαρτυρούντων. ἢ γὰρ οὐ θεωροῦμεν ἕτερόν τι τοῖς γεωργοῦσιν, ἕτερον δὲ τοῖς ἰατρεύουσιν ὑποκείμενον τέλος· καὶ πάλιν ἄλλο μέν τι τῶν ἐκ γῆς φυομένων, ἄλλο δὲ τῶν ἐπ' αὐτῆς τρεφομένων, ζώων, καὶ κατά τινα φυσικὸν εἱρμὸν γινομένων; εἰ δὲ τοῦτ' ἔστιν ἐναργές, καὶ δεῖ πάντως ταῖς φυσικαῖς ἢ τεχνικαῖς δυνάμεσι, καὶ ταῖς ἐκ τούτων ἐνεργείαις τὸ κατὰ φύσιν ἕπεσθαι τέλος, ἀνάγκη πᾶσα καὶ τὸ τῶν ἀνθρώπων τέλος,

ὡς

ὡς ἰδιαζούσης ὂν φύσεως, ἐξῃρημένης τῆς τῶν ἄλλων κοινότητος. ἐπεὶ μηδὲ θεμιτὸν τοιοῦτον ὑποθέσθαι τέλος τῶν τε λογικῆς κρίσεως ἀμοιρούντων καὶ τῶν κατὰ τὸν ἔμφυτον νόμον καὶ λόγον ἐνεργούντων, ἔμφρονί τε ζωῇ καὶ δίκῃ χρωμένων. οὔτ᾽ οὖν τὸ ἄλυπον, οἰκεῖον τοῦτ᾽ ἂν εἴη τέλος· (μετείη γὰρ ἂν τούτου καὶ τοῖς παντελῶς ἀναισθητοῦσιν·) ἀλλ᾽ οὐδὲ τῶν τὸ σῶμα τρεφόντων ἢ τερπόντων ἀπόλαυσις, καὶ πλῆθος ἡδονῶν· (ἢ πρωτεύειν ἀνάγκη τὸν κτηνώδη βίον, ἀτελῆ δὲ εἶναι τὸν κατ᾽ ἀρετήν. κτηνῶν γὰρ οἶμαι καὶ βοσκημάτων οἰκεῖον τοῦτο τέλος, οὐκ ἀνθρώπων ἀθανάτῳ ψυχῇ καὶ λογικῇ κρίσει χρωμένων.) οὐ μὴν οὐδὲ μακαριότης ψυχῆς κεχωρισμένης σώματος· οὐδὲ γὰρ τὸ θατέρου τούτων ἐξ ὧν συνέστηκεν ἄνθρωπος ἐπισκοποῦμεν ζωὴν, ἢ τέλος, ἀλλὰ τοῦ συνεστῶτος ἐξ ἀμφοῖν. τοιοῦτος γὰρ πᾶς ὁ τόνδε λαχὼν τὸν βίον ἄνθρωπος, καὶ δεῖ τὸν τούτου ζωῆς εἶναί τι τέλος οἰκεῖον. εἰ δὲ τοῦ συναμφοτέρου τὸ τέλος, τοῦτο δὲ οὔτε ζώντων αὐτῶν ἔτι κατὰ τόνδε τὸν βίον εὑρεθῆναι δυνατὸν, διὰ τὰς

πολλάκις

naturæ, excipi ab aliorum communione. Quandoquidem fas non eſt eundem finem ſtatuere eorum quæ carent rationali judicio, & eorum quæ ſecundum inſitam legem & rationem agunt, vitæque prudentia & juſtitia utuntur. Neque igitur indolentia, propria iſtorum & peculiaris finis: id enim pariter invenias in ſenſu carentibus. Neque rurſus eorum quæ corpus vel oblectant vel alunt perfruitio, aut copia voluptatum: alioqui præſtare neceſſum pecuinam vitam, ac vitam virtutibus præditam, rem imperfectam eſſe: beſtiarum enim & pecorum iſtiuſmodi finis eſt, non hominum immortali anima & rationali judicio utentium. Neque item beatitudo animæ à corpore ſegregatæ: non enim alterutrius partis, ex quibus homo conſtat, reſpicimus aut vitam aut finem, ſed illius quæ ex ambabus plenitudinem & integritatem accipit. Talis enim eſt qui hanc vitam ſortitus eſt homo, ejuſque vitæ neceſſum eſt eſſe ſuum proprium finem. Quod ſi ejus quod utrunque ſimul eſt, nimirum compoſiti ex anima & corpore, finis ſtatuendus eſt, neque illum, dum in hac vita agit, re-

perire queas, ob caufas jam fæpius allegatas: neque tum quum anima fegregata à corpore eft, eo quod nihil tale cenferi homo debeat, diffoluto aut penitus diffipato çorpore, etiamfi anima per fe fuperfit: omnino neceffe eft in alia aliqua utriufque partis ejufdemque animalis recompofitione & inftauratione hominum finem apparere; idque quum ex neceffitate confequatur, omnino neceffe eft, mortuorum aut penitus diffolutorum corporum refurrectionem fieri, eofdemque homines rurfus conftitui. Quandoquidem finem non quemvis neque quorumvis hominum effe jubet naturæ illa lex, fed illorum ipforum qui in fuperiori vita vixerunt. Eofdem autem homines rurfus conftitui impoffibile eft, nifi eadem corpora animabus reddantur. Ut autem idem corpus eandem animam recipiat, aliter fieri non poteft quam per refurrectionem. Ea enim quum fuerit, etiam naturam hominum congruens finis fequitur: finem vero vitæ prudentis & rationalis judicii, non erraret fi quis dicat id effe ut perpetuo iis inhæreamus & perennemus, cum quibus maxime & principaliter naturalis ratio

πολλάκις ἤδη ἐνδεείσας αἰτίας· οὔτε μὴν ἐν χωρισμῷ τυγχανούσης τῆς ψυχῆς, τῷ μηδὲ συνεστάναι τὸν τοιοῦτον ἄνθρωπον, διαλυθέντος ἢ καὶ πάντῃ σκεδασθέντος τοῦ σώματος, κἂν ἡ ψυχὴ διαμένῃ καθ' ἑαυτήν· ἀνάγκη πᾶσα κατ' ἄλλην τινὰ τῶν συναμφοτέρου καὶ τοῦ αὐτοῦ ζώου σύστασιν, τὸ τῶν ἀνθρώπων φανῆναι τέλος. τούτου δ' ἐξ ἀνάγκης ἑπομένου, δεῖ πάντως γενέσθαι τῶν νεκρωθέντων ἢ καὶ πάντῃ διαλυθέντων σωμάτων ἀνάστασιν, καὶ τοὺς αὐτοὺς ἀνθρώποις συστῆναι πάλιν. ἐπειδή γε τὸ μὲν τέλος οὐχ ἁπλῶς, οὐδὲ τῶν ἐπιτυχόντων ἀνθρώπων ὁ τῆς φύσεως τίθεται νόμος· ἀλλ' αὐτῶν ἐκείνων τῶν κατὰ τὴν προλαβοῦσαν ζωὴν βεβιωκότων. τοὺς δ' αὐτοὺς ἀνθρώπους συστῆναι πάλιν, ἀμήχανον, μὴ τῶν αὐτῶν σωμάτων ταῖς ψυχαῖς αὐταῖς ἀποδοθέντων. τὸ δ' αὐτὸ σῶμα τὴν αὐτὴν ψυχὴν ἀπολαβεῖν, ἄλλως μὲν ἀδύνατον, κατὰ μόνην δὲ τὴν ἀνάστασιν δυνατόν. ταύτης γὰρ γινομένης, καὶ τὸ τῇ φύσει τῶν ἀνθρώπων πρόσφορον ἐπακολουθεῖ τέλος. τέλος δὲ ζωῆς ἔμφρονος καὶ λογικῆς κρίσεως οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τὸ τούτοις ἀπερισπάστως συνδιαιωνίζειν, οἷς μάλιστα καὶ

θρώπως ὁ φυσικὸς συνήρμοσται λόγος, τῇ τε θεωρείᾳ τοῦ ὄντος καὶ τῶν ἐκείνῳ δεδογμένων ἀπαύστως ἐπαγάλλεσθαι· κἂν οἱ πολλοὶ τῶν ἀνθρώπων ἐμπαθέστερον καὶ σφοδρότερον τοῖς τῇ δὲ προσπεπονθότες, ἄστοχοι τούτου διατελῶσιν. οὐ γὰρ ἀκυροῖ τὴν κοινὴν ἀποκλήρωσιν τὸ πλῆθος τῶν ἀποπιπτόντων τοῦ προσήκοντος αὐτοῖς τέλους, ἰδιαζούσης τῆς ἐπὶ τούτοις ἐξετάσεως, καὶ τῆς ἑκάστῳ συμμετρουμένης ὑπὲρ τῶν εὖ ἢ κακῶς βεβιωμένων τιμῆς ἢ δίκης.

tio congruit & consentit: idque respectu & contemplatione ejus qui est, eorumque gratia quæ illi placuit in perpetuum promittere. Tametsi vulgus hominum acrius & vehementius rebus quæ istic sunt jam antea affecti, nihil curant & respiciunt istiusmodi finem. Non enim infirmat communem officii designationem multitudo eorum qui à fine ipsis decoro deficiunt & absistunt: quum peculiaris adversus illud constituta sit examinatio, suppliciaque & præmia destinata sint, quæ ad benefactorum vel malefactorum mensuram respondeant.

INDEX.

INDEX.

Dianæ

Niobe



FINIS.